Ακαδημία Αθηνών / Academy of Athens

## Α΄ ΚΡΙΤΙΚΑ ΣΗΜΕΙΑ

A = κῶδιξ τῆς Ἀκαδημίας Ἀθηνῶν
I = κῶδιξ τῆς Μονῆς Ἰβήρων 287 (=Ἄθῳος 4407)
R = κῶδιξ τῆς Ρουμανικῆς Ἀκαδημίας 278 (209)
V = κῶδιξ Vaticanus gr. 2590
x = ἡ ἀπολεσθεῖσα ἀπωτάτη κοινὴ πηγὴ τῶν AIRV
y = ἡ ἀπολεσθεῖσα ἀπωτέρα κοινὴ πηγὴ τῶν I καὶ V

⟨...⟩ = προσθετέα
α⟨β = πηγὴ ἄμεσος (τὸ β τοῦ α)
α⟨...⟨β = πηγὴ ἀπωτέρα (τὸ β τοῦ α)
∼ = πηγὴ παραλλάσσουσα φραστικῶς (ἀμφίβολον ἂν ἄμεσος ἢ ἔμμεσος)

## Β΄. ΣΥΝΤΟΜΟΓΡΑΦΙΑΙ ΠΗΓΩΝ ΚΑΙ ΒΟΗΘΗΜΑΤΩΝ

**Ἀρμ.** = *Πρόχειρον Νόμων τὸ λεγόμενον ἡ Ἑξάβιβλος... συντεθὲν παρά...Κωνσταντίνου τοῦ Ἀρμενοπούλου*, ἔκδ. *G.E. Heimbach*, Lipsiae 1851 (ἀνατύπ. Aalen 1969).

**Βασ.** = *Βασιλικά.*—Τὰ μέχρι μὲν καὶ τοῦ βιβλ. 52 τοῦ κειμένου καὶ 48 τῶν σχολίων κατὰ τὴν ἔκδ. *H. J. Scheltema - N. Van der Wal* καὶ *H. J. Scheltema - D. Holwerda*, Groningen κ.λπ. 1953 ἑπ., τὰ δὲ λοιπὰ κατὰ τὴν ἔκδ. *Ι.Δ. Ζέπου*, ἐν Ἀθήναις 1910 - 1912 (=ἔκδ. *Heimbach*).

**Βλάστ.** = *Ματθαίου Βλαστάρη, Σύνταγμα κατὰ στοιχεῖον* ἐν *Σύντ.* τ. 6.

**Dölger** = *F. Dölger, Regesten der Kaiserurkunden des oströmischen Reiches* (Corpus der griechischen Urkunden des Mittelalters und der neueren Zeit. Reihe A, Abt. I), τ. I - V, München - Berlin 1924 - 1965.

**Δυοβουνιώτης** = *Κ. Ι. Δυοβουνιώτου, Ὁ νομοκάνων τοῦ Μανουὴλ Μαλαξοῦ*, ἐν Ἀθήναις 1916.

**Ἐκλ.** = *Ἐκλογὴ τῶν Νόμων*, ἔκδ. ἐν *J.G-R. (Ζέπ.* τ. II*) (= C.E. Zachariae a Lingenthal, Collectio librorum juris graeco-romani ineditorum*, Lipsiae 1852.

**Ἐπιτ.** = *Ἐπιτομὴ Νόμων*, ἔκδ. ἐν *J.G-R. (ZvL.* τ. II, *Ζέπ.* τ. IV*)*.

**J.G-R. (Ζέπ.)** = *Ἰω. κ. Π. Ζέπου, Jus Graecoromanum*, τ. I-VIII, Ἀθῆναι 1931 (ἀνατύπ. Aalen 1962).

**J.G-R. (ZvL.)** = *C. E. Zachariae a Lingenthal, Jus Graeco-romanum*, τ. I-VI, Lipsiae 1856 - 1870.

**Καν.** = *Κανών*. Κατὰ τὴν ἔκδ. *P.-P. Joannou, Discipline générale antique* (Pontificia Commissione per la redazione del codice di diritto canonico orientale. Fonti, fasc. IX), τ. I-II, Roma 1962-1964. Αἱ παραπομπαὶ γίνονται κατὰ τὰς ἐν χρήσει κοινῶς παραδεδεγμένας συντομογραφίας.

**Μαλξ.(Θέμ.)** = *Λ. Σγούτα, Νομοκάνων Μιχαὴλ* (sic) *Μαλαξοῦ* ἐν Θέμις τ. 7 (1856) σ. 165 - 246.

**Μαλξ.(Ρουμ.)** = *Nomocanonul lui Manuil Malaxos* ἐν *Indreptarea Legii 1652* (Adunarea izvoarelor vechiului drept Romînesc scris VII), Editura Academiei Pepublicii Populare Romîne, [Bucuresti 1962], σ. 635 - 929.

**Νε.** = *Νεαρά.*—Αἱ μὲν νεαραὶ τοῦ Λέοντος ϛ΄ κατὰ τὴν ἔκδ. *P. Noailles - A. Dain*, Paris 1944, πᾶσαι δὲ αἱ λοιπαὶ μετὰ τὸν Ἰουστινιανὸν ἐκδοθεῖσαι κατὰ *J.G-R. (ZvL.* τ. III, *Ζέπ.* τ. I*)*.

**Νομκ.** = *Δ. Γκίνη, Νομικὸν ποιηθὲν καὶ συνταχθὲν εἰς ἁπλῆν φράσιν ὑπό...Θεοφίλου*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*τοῦ ἐξ Ἰωαννίνων (1788)* (Παράρτημα τῆς Ἐπιστ. Ἐπετ. τῆς Σχολῆς Νομικῶν καὶ Οἰκον. Ἐπιστημῶν τοῦ Ἀριστοτελείου Πανεπιστημίου Θεσσαλονίκης), Θεσσαλονίκη 1960.

**Πεῖρα** = *Πεῖρα Εὐσταθίου τοῦ Ρωμαίου*, ἔκδ. *J.G-R.* (*ZvL.* τ. I, *Ζέπ.* τ. IV).

**Φωτειν.** = *Παν. Ι. Ζέπου, Μιχαὴλ Φωτεινοπούλου Νομικὸν Πρόχειρον (Βουκουρέστιον 1765)* ἐν Ἀρχεῖον Ἰδιωτικοῦ Δικαίου τ. 17 (1954 - 1959), Ἀθῆναι 1959.

**Πρόχ. Νόμ.** = *Πρόχειρος Νόμος*, ἔκδ. ἐν *J.G-R.* (*Ζέπ.* τ. II.) (=*C.E. Zachariae, Ὁ Πρόχειρος Νόμος, Imperatorum Basilii Constantini et Leonis Prochiron*, Heidelbergae 1837).

**Reg. Patr.** = *Les regestes des actes du Patriarcat de Constantinople. I. Les actes des Patriarches*, ἔκδ. *V. Grumel*, τεύχη I - III, Chalcedon 1932 - 1947, ἔκδ. *V. Laurent*, τεῦχ. IV, Paris 1971.

**Σύν.** = *Μεγάλη Σύνοψις τῶν Βασιλικῶν*, ἔκδ. ἐν *J.G-R.* (*ZvL.* τ. V, *Ζέπ.* τ. V).

**Σύντ.** = *Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων καὶ τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων κ.λπ.*, ἔκδ. *Γ.Α. Ράλλη - Μ. Ποτλῆ*, τ. 1 - 6, Ἀθήνησιν 1852 - 1859 (ἀνατύπ. 1966).

## Γ΄. ΛΟΙΠΑΙ ΣΥΝΤΟΜΟΓΡΑΦΙΑΙ*

**α** (ἐκθέτης) = προσθία ὄψις φύλλου — **ἄ.** = ἄνευ — **ἀνεμέν.** = ἀνεμένομεν (οἱ ἐκδόται) — **ἀνωτ.** = ἀνωτέρω — **ἀπκρ.** = ἀπόκρισις — **ἀπφ.** = ἀπόφασις — **ἀρχκ.** = ἀρχικός, κ.λπ. — **β** (ἐκθέτης) = ὀπισθία ὄψις φύλλου — **γρ.** = γράφε — **γρμ.** = γράμμα (ἀλφαβήτου) — **γρφ.** = = γραφεύς, γραφή, κ.λπ. — **διαγεγρ.** = διαγεγραμμένος, κ.λπ. — **διάφ.** (-α-) = διάφορος, κ.λπ. — **δοκμστ. προτν.** = δοκιμαστικῶς προτείνομεν — **δρθ.** = διόρθωσις, διωρθώσαμεν (οἱ ἐκδόται) — **δυσαγν.** = δυσανάγνωστος, κ.λπ. — **δυσξ.** = δυσξύμβλητος, κ.λπ. — **ἐγρ.** = = ἐγράψαμεν (οἱ ἐκδόται) — **εἰσγμ.** = εἰσηγάγομεν (οἱ ἐκδόται) — **ἔκδ.** = ἔκδοσις — **ἐλλπ.** = = ἐλλείπει, -ουν, κ.λπ. — **ἐντθ.** = ἐνταῦθα — **ἐπκφλ.** = ἐπικεφαλίς — **ἐρτ.** = ἐρώτησις — **ἐρυθργρ.** = ἐρυθρόγραφος, κ.λπ. — **ἐστίξ.** = ἐστίξαμεν (οἱ ἐκδόται) — **ἔτ.** (ἐ-) = ἔτος, -η — **ἐφθρμ.** = ἐφθαρμένος, κ.λπ. — **ἡμέτ.** = ἡμέτερος, κ.λπ. — **κ.** = καὶ — **κατωτ.** = κατωτέρω — **Κ. Διαθ.** = Καινὴ Διαθήκη — **κείμ.** (-ει-) = κείμενον — **κεφ.** = κεφάλαιον — **κῶδ.** = κῶδιξ — **κώδδ.** = κώδικες — **λ.** = λέξις, -εις — **λπει** = λείπει — **μτ.** = μετὰ — **ξσμ.** = ξέσμα — **ὅμ.** (ὁ-) = ὅμοιος, κ.λπ. — **ὁμκτλ.** = ὁμοιοκατάληκτος, κ.λπ. — **παρλπ.** = παραλείπει, -ουν, κ.λπ. — **παρπμπ.** = παραπομπὴ — **πβ.** = παράβαλε — **Π. Διαθ. Ο΄** = Παλαιὰ Διαθήκη (κατὰ τοὺς Ο΄) — **πήδ.** (-η-) = πήδημα — **πίν.** = πίναξ, -κες — **πλρσ.** = πλήρωσις — **προηγμ.** = προηγούμενος, κ.λπ. — **πρσθ.** = προσθέτει, κ.λπ., προσεθήκαμεν (οἱ ἐκδόται) — **πτρχ.** = πατριάρχης — **ρ.** = ρῆμα — **συεπλ.** = συνεπληρώσαμεν (οἱ ἐκδόται) — **στίξ.** = στίξις — **στχ.** = στίχος — **συνοδ.** = συνοδικός, κ.λπ. — **σχλ.** = σχόλιον, -α — **τίτλ.** = τίτλος — **τόν.** = τόνος — **ὑπκμ.** = ὑποκείμενον — **ὑπργεγρ.** = ὑπεργεγραμμένος, κ.λπ. — **ὕπρθ.** = ὕπερθεν — **χ.** = χεὶρ — **χσμ.** = χάσμα — **χωρ.** = χωρίον — **ὠβλ.** = ὠβελίσαμεν (οἱ ἐκδόται) —**ὡρσμ.** = ὡρίσαμεν (οἱ ἐκδόται).

* Κατ' ἀνέκδοτον ὑπὸ τοῦ ἐν τῷ Κέντρῳ Ἐρεύνης τοῦ Μεσαιωνικοῦ καὶ Νέου Ἑλληνισμοῦ τῆς Ἀκαδημίας Ἀθηνῶν συναδέλφου Γ. Παπαδημητρίου ἐκπονηθέντα συστηματικὸν «Πίνακα συντομογραφιῶν κριτικῶν ὅρων χρησίμων διὰ τὴν σύνταξιν ἑλληνογλώσσου κριτικοῦ ὑπομνήματος».

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

# Μανουὴλ Μαλαξοῦ Νομοκάνων

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

[$224^{\beta}$ A, $90^{\alpha}$ I, $219^{\alpha}$ R, $73^{\alpha}$ V] **Κεφάλαιον σξθ΄. Περὶ γυναικῶν μνηστευομένων ἐν ᾧ καὶ περὶ μνηστείας**

Ὁ ξθ΄ τοῦ Μεγάλου Βασιλείου κανών, εἰ ἀναγνώστης, φησί, τῇ αὐτοῦ μεμνηστευμένῃ πρὸ τοῦ γάμου μιχθείη, κἀκείνης τοῦτο ἑλομένης, ἐπ᾽ ἐνιαυτὸν ἀφοριζόμενος, εἰς [$73^{\beta}$ V] τὸ ἀναγινώσκειν πάλιν ἐπάνεισιν, εἰς μείζονα μὴ προκόπτων βαθμόν [$225^{\alpha}$ A]. Εἰ δὲ μνηστείας χωρὶς συνέλθοι γυναικὶ καὶ εἰ λαβεῖν αὐτὴν εἰς γυναῖκα λόγους ἴσως μετ᾽ αὐτῆς ἐποιεῖτο, καὶ τῆς τοῦ ἀναγνώστου ὑπηρεσίας ἐκπίπτει· εἰ δὲ ὑπηρέτης ἤτοι ὑποδιάκονος τῷ δευτέρῳ πάθει ἁλοίη, τῆς ὑπηρεσίας ἐκβάλλεται ταχέως.

*Περὶ τοῦ τὴν ἑτέρῳ μνηστευομένην λαμβάνοντος*

Ὁ ϟη΄ τῆς ἕκτης συνόδου· [$219^{\beta}$ R] Ὁ ἑτέρῳ μνηστευθεῖσαν γυναῖκα, ἔτι τοῦ μνηστευσαμένου ζῶντος, πρὸς γάμου κοινωνίαν ἀγόμενος, τῷ τῆς μοιχείας ὑποκείσθω ἐγκλήματι. Ἔτι δηλονότι τῆς μνηστείας νόμῳ συνισταμένης καὶ διαζυγίου μὴ σταλέντος· δεῖ γάρ, φησὶν ὁ νόμος, ὡς ἐπὶ γάμου διαλύσεως, οὕτω δὴ καὶ ἐπὶ μνηστείας στέλλεσθαι διαζύγιον δι᾽

---

**σξθ΄ 3** ⟨Ὁ ξθ΄ - **9** ταχέως ⟨*Βλάστ. Γ 15: 179* $^{20-27}$ || ⟨...⟨*καν. 69 Βασιλείου* || **11** Ὁ ἑτέρῳ - **13** ἐγκλήματι ⟨*καν. 98 Πενθ.* || **13** Ἔτι δηλονότι - **37** γυναῖκά σου ⟨*σχλ. Ζωναρᾶ εἰς καν. 98 Πενθ. (=Σύντ. 2,* $539^{16}/40^{15}$*)* || ⟨...⟨*Νε. Ἀλεξίου Α΄ ἔτ. 1092 (=J.G-R.: ΖvL. 378/83, Ζέπ. 321/25· πβ. Dölger ἀρ. 1167) — Π. Διαθ. Ο΄, Δευτ. κβ΄ 24 — Κ. Διαθ., Ματθ. α΄ 20* || ⟩*Μαλξ.*

---

**σξθ΄: 3** τοῦ μεγάλου βασιλείου *ἐν τῇ ᾤᾳ κώδδ.* || κανών *παρλπ. V* || αὐτοῦ *ὡς Σύντ. ὀρθ.:* αὐτοῦ *κώδδ.* || **4** ἐπ᾽ ἐνιαυτὸν *A*, ἐπ᾽ ἐνιαὐτὸν *I*, ἐπ᾽ ἐνὶ αὐτὸν *RV* || **5** εἰς² *AR*, εἰ *IV* || **6** συνέλθη *V* || **9** *μτ.* τῷ *προσθ.* πρεσβυτέρῳ *διαγεγρ. V* || ἀλόοι *I*, ἀλόη *V* || ταχέως *κώδδ.: ἀνεμέν.* τελέως (*ὡς Σύντ., ὅπου* τελέως ἐκβάλλεται) || **10** *ἐπκφλ. παρλπ. V* || **11** ϟκ΄ *A* || ἕκτης *AR*, ς΄ *IV* || συνόδου ς΄ ϟη΄ *ἐν τῇ ᾤᾳ κώδδ.* || **12** *μτ.* ζῶντος *προσθ.* γὰρ *V* || πρὸ *V* || **13** μοιχίας *I* || σχόλιον *ἐν τῇ ᾤᾳ IR, ἐν τῷ κειμ.* (*μτ.* ἐγκλήματι) *A* || ἔτι *AR*, ὅτι *IV* || **15** *μτ.* μνηστείας

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



εὔλογον τυχὸν αἰτίαν ἢ τὴν ὡς ἀνυποστάτου τυχὸν τοῦ γάμου διὰ τὸ ἀθέμιτον ἢ καινοτάτην θρησκείαν ἀγνοηθεῖσαν ἢ διὰ τὴν τῶν τρόπων αἰσχρότητα ἢ τύχης ἐναλλαγὴν ἢ ἐγγάστριον ἐξ ἀλλοτρίων σπερμάτων φωραθὲν ἢ γάμων ὑπέρθεσιν ὑπὲρ τετραετίαν μὴ ἐξ εὐλόγου αἰτίας ἐκταθεῖσαν διὰ νόσον χρονίαν ἴσως ἢ θάνατον γονέων ἢ κεφαλικὰ ἐγκλήματα ἢ μακρὰς ἀποδημίας ἐξ ἀνάγκης γενομένας· ἔτι δὲ διὰ βίαν ἄρχοντος ἐπαρχίας μνηστευομένης τῆς τε κόρης καὶ τῶν αὐτῆς γονέων μὴ συναινούντων ἢ δι᾽ ἀπόκαρσιν ἀληθῆ καὶ πρὸς μονήρη βίον ἀπόκλισιν ἢ τὸ μὴ δύνασθαι τὴν γυναῖκα τεκνοποιεῖν ἢ τὸν ἄνδρα τὰ τῶν ἀνδρῶν ἐνεργεῖν ἢ τὸ εἶναι βουλευτὴν ἢ τὸ τῷ δημοσίῳ ὑποκεῖσθαι αὐτοῦ τὴν οὐσίαν ἢ ἄλλῳ βαρυτάτῳ λειτουργήματι ἔνοχον εἶναι. Ὁ γάρ τινος τούτων ⟨τῶν⟩ ἀπηριθμημένων τὴν συστᾶσαν ἤδη μνηστείαν μὴ διαστήσαντος ἢ διασπαράξαντος τὴν ἑτέρῳ μνηστευθεῖσαν ἀγαγόμενος, ἔτι τοῦ μνηστευσαμένου ζῶντος, τῷ [225β A] ἐγκλήματι τῶν μοιχῶν εἰκότως ὑπόκειται· μοιχεία γὰρ ἀλλ᾽ οὐ γάμος τὸ γινόμενον. Εἰ γὰρ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται, κατὰ τὴν τῆς αὐτοαληθείας ἀπόφασιν, ὁ τὴν μὴ νόμῳ τοῦ μνηστῆρος ⟨λελυμένην⟩ ἀγαγόμενος, ποῦ τετάξεται; Καὶ ἐν τῇ Παλαιᾷ δὲ παραπλησίως τῷ μοιχῷ κολάζεται ὁ φθείρων τὴν ἄλλῳ μεμνηστευμένην, ἐπειδὴ τὰ τῆς μνηστείας αὐτοὺς συνήρμοσε σύμβολα, ὅθεν καὶ γυναῖκα αὐτὴν προσηγόρευσεν· «ἐταπείνωσε» γάρ φησι «τὴν γυναῖ[220α R]κα τοῦ πλησίον»· οὕτω δὲ καὶ ἡ ἁγία παρθένος γυνὴ τοῦ Ἰωσὴφ ἐχρημάτισε· «μὴ φοβηθῇς» γάρ φησι «παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου». Νῦν μὲν ἡ μνηστεία γάμῳ ἰσοδυναμεῖ ἐκ νεαρᾶς τοῦ βασιλέως κυ-

---

*(Θεμ.) ρλη′ 1, (Ρουμ.) ρμδ′* || **38** Νῦν μὲν - **47** ἐγκλήματι ⟨*σχλ. Ζωναρᾶ εἰς καν. 98 Πενθ. (=Σύντ. 2, 539* [3–14] || ⟨...⟨*Νε. Ἀλεξίου Α′ ἔτ. 1084 (=J.G-R.: ZνL. 360/63, Ζέπ. 321/25·*

---

*προσθ.* οὕτω *AR* || στέλεσθαι *IV* || **16** δι᾽ εὖλον *I* || αἰτίαν τυχὸν *IV* || **17** ἀθέμητον *IV* || **18** ἐν ἀλλαγὴν *I* || ἐγκάστριον *V* || **20** νόσον *δρθ. ἐκ Συντ.*: νόσου *κώδδ.* || **21** μακρᾶς *AIR* || γενομένας *δρθ. ἐκ Συντ.*: γενομένης *κώδδ.* || **22** μνηστευομένης *(ὡς Σύντ.) κώδδ.*: *ἀνεμέν.* τῆς μνηστείας γενομένης *(περὶ ἧς γρφ. πβ. Βλάστ. I 15: 183*[18]*, ὁπόθεν τὸ ἡμέτ. χωρ. σπβ′ στχ. 12)* || τῆς τε κόρης *δρθ. ἐκ Συντ.*: τῆς τεκούσης *κώδδ.* || αὐτῆς *δρθ.*: αὕτῆς *IV κ. Σύντ.*, αὐτῇ *AR* || **23** μονήρι *V* || ἀπόκλησιν *V* || **25** τὸ[2] *παρλπ. IV* || διμοσίῳ *I* || **27** τῶν *συνεπλρ. ἐκ Συντ.*: *παρλπ. κώδδ.* || ἀπηριθμημένων *(ὡς Σύντ.) δρθ.*: -μουμένων *κώδδ.* || συστάσασαν *V* || **28** ἀγαγόμενος *(ὡς Σύντ.) κώδδ.*: *ἀνεμέν.* ἀγόμενος *ὡς ἡ πηγὴ τῆς διατάξεως (ἀνωτ. στχ. 12· πβ. σπβ′ 18)* || **30** ὁ *παρλπ. V* || **31** μοχᾶται *I* || αὐτοαληθείας *(ὡς Σύντ.) A*: ἀληθείας *IRV* || **32** λελυμένην *συνεπλρ. ἐκ Συντ.*: *παρλπ. κώδδ.* || **33** ὁ φθείρων *AIV*: ἀφθείρων *R* || ἄλω *V* || **35** προηγόρευσεν *IV* || **37** ἐχρημάτησε *IV* || φοβηθῇς *(ὡς Σύντ.) δρθ.*: φοβηθεὶς *κώδδ.* || **38** ζω-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ· καὶ πάλαι δέ, ἐπεὶ φίλημα τῶν μνηστευομένων ἐπὶ τῇ μνηστείᾳ ἐγίνετο καὶ ἀρραβὼν τῇ γυναικὶ παρείχετο παρὰ τοῦ ἀνδρός, εἰκότως [90β I] καὶ τότε ὁ ζῶντος τοῦ μνηστῆρος τὴν μνηστὴν εἰς γάμον ἀγόμενος τῷ τῆς μοιχείας ἐγκλήματι καθίστατο ἔνοχος, κἂν ἐξῆν τότε λύειν τὴν μνηστείαν, τῆς ποινῆς τοῦ προστίμου παρεχομένης· ἀλλά, μήπω τῆς μνηστείας λυθείσης, μνηστὴ ἦν ἡ γυνὴ ἑτέρου καὶ ὁ ταύτην λαβὼν μοιχὸς εἰκότως ἐκρίνετο· ὅπου δὲ οὔτε φίλημα οὔτε δόσις ἀρραβῶνος παρηκολούθησεν, ὡς νῦν γίνεται ἐπὶ τῶν λεγομένων δεσμῶν, κἂν ἕτερος λάβῃ τὴν γυναῖκα, οὐχ ὑποπεσεῖται μοιχείας ἐγκλήματι. Τὴν μνηστείαν οἱ νομοθέται ὁρίζονται μνήμην καὶ ἐπαγγελίαν τῶν μελλόντων γάμων. Ἔλεγον οὖν τινες, ὡς, εἴ τις τὴν ἑτέρῳ μνηστευθεῖσαν κατὰ νόμον γάμου ἀγάγηται, οὐκ ἔστι μοιχός, ἀλλ' οὐδὲ πόρνος· πορνείαν μὲν γὰρ οὐχ ἥμαρτεν, ὅτι νομίμως συνεζύγη μετὰ ταύτης, μοιχείαν δὲ οὐκ ἐπλημμέλησεν, ὅτι ὕπανδρος οὐκ ἔτι ἐστί. Τοῦτο τοίνυν μὴ παραδεξάμενοι οἱ ἅγιοι πατέρες ὥρισαν ὡς μοιχὸν κατακρίνεσθαι [226α A] τὸν πρὸς γάμου κοινωνίαν λαμβάνοντα τὴν ἑτέρῳ μεμνηστευμένην, ὅτι τε φίλημα προέβη μέσον τῶν μνηστήρων καὶ ἀρραβῶνες ἐδόθησαν χάριν ἀσφαλείας τῶν συναλλαξάντων μερῶν καὶ οὐκ ἄλλως ὁ μνηστὴρ ἑτέραν γυναῖκα λαβεῖν ἠδύνατο, εἰ μὴ κατὰ νόμους τὴν πρώτην μνηστείαν ἔλυσε· καὶ ἀπὸ μὲν τοῦ κανόνος ταῦτα. Πολλῷ δὲ πλέον σήμερον ὡς μοιχὸς ὁ τοιοῦτος κατακριθήσεται, ὅταν, ἀπὸ τῆς περὶ μνηστείας προσκυνητῆς νεαρᾶς [220β R] τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἡ μνηστεία κατὰ πάντα σχεδὸν ἰσοδυναμεῖ τῷ τελείῳ γάμῳ· καὶ ἄλλως οὐ λύεται, εἰ μὴ καθ' οὓς τρόπους καὶ τὸ τέλειον διασπᾶται συνοικέσιον. Μὴ θαυμάσης

---

*πβ. Dölger ἀρ. 1116) κ.1092 (πβ. Dölger ἀρ. 1167)* || **47** Τὴν μνηστείαν - **88** σπερμάτων

---

ναρᾶ *ἐν τῇ ᾤᾳ κώδδ.* || ἰσοδυναμοῖ *I* || **39** μνηστευομένων *(ὡς Σύντ.) IV*: μνηστευσαμένων *AR* || **41** μνηστῆρος *κώδδ.*: *ἀνεμέν.* μνήστορος *(ὡς Σύντ.)* || **43** προτίμου *IV* || παρεχόμενος *IV* || **46** παρηκολούθησεν *(ὡς Σύντ.) AIR*: -σ(αν) *V* || **47** *πρὸ* μοιχείας *προσθ.* τῷ τῆς *Σύντ.* || βαλσαμὼν *ἐν τῇ ᾤᾳ κώδδ.* || **49** οὖν *κώδδ.*: γοῦν *Σύντ.* || **50** πορνίαν *V* || **51** συνεζύγη *AR κ. (μτ. ξσμ. ἐξ ἀρχκ.* συνεζεύχθη) *I*: -ζεύχθη *V* || **53** πρὸς γάμου *δρθ. ἐκ Συντ.*: προγάμου *ARV*, πρὸ γάμου *I* || **54** μεμνηστευμένην *δρθ. ἐκ Συντ.*: μνηστευμένην *AR*, μνηστευομένην *IV* || **55** μέσον *(ὡς Σύντ.) AV*: μέσων *IR* || μνηστήρων *κώδδ.*: μνηστόρων *Σύντ.* || **57** ἠδύνατο *δρθ. ἐκ Συντ.*: εἰ δύνατο *AR*, εἰ δυνατὸν *IV* || **58** κατακριθήσεται ὁ τοιοῦτος *Σύντ.* || **59** ὅταν *δρθ. ἐκ Συντ.*: ὁ κανὼν *κώδδ.* || **60** *μτ.* ἀοιδίμου *προσθ.* ἁγίου *Σύντ.* || **61** πάντα *δρθ. ἐκ Συντ.*: πᾶσαν *κώδδ.* || ἰσοδυναμοῖ *κώδδ.* || **62** καθ' οὗ *IV* || **64** δυνάμενος *σνεπλρ. ἐκ Συντ.*:

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



δέ, ὅτι περὶ τῆς γυναικὸς οὐκ ἐθεσμοθετήθη τι παρὰ τῶν πατέρων· εἰ γὰρ κολάζεται ὁ ταύτην ἀγόμενος, ⟨δυνάμενος⟩ ἴσως προβαλέσθαι καὶ ἄγνοιαν, πολλῷ πλέον ἡ γυνὴ τιμωρηθήσεται ἡ μηδὲν τοιοῦτον εἰπεῖν ἐξισχύουσα ζῶντος τοῦ μνηστῆρος αὐτῆς. Ἐκεῖνος μέντοι ὡς μοιχὸς τιμωρηθήσεται, ὁ ἐν εἰδήσει τὴν μεμνηστευμένην ἑτέρῳ γαμήσας· ἡ δὲ γυνή, ὡς ἂν ἔχῃ τὸ πρᾶγμα, ὡς μοιχαλὶς κολασθήσεται. Τί δέ; Ὁ μὲν εἰς γάμου κοινωνίαν ἀ⟨γα⟩γόμενος τὴν ἀλλοτρίαν μνηστὴν ὡς μοιχὸς κολάζεται, ὁ δὲ πορνεύσας μετὰ ταύτης οὐ τιμωρεῖται ὡς μοιχός; Εἴτε κατὰ γάμου κοινωνίαν, εἴτε πορνικῶς συμφθαρῇ τις ἐν εἰδήσει μετὰ τῆς ἑτέρῳ μεμνηστευμένης, ὡς μοιχὸς κολάζεται· μόνος γὰρ ὁ ἀγνοήσας τὴν μνηστείαν ὡς πόρνος τιμωρεῖται. Πρόσκειται δὲ τῷ κανόνι τὸ πρὸς γάμου κοινωνίαν ἀγαγέσθαι τινὰ τὴν τοῦ ἑτέρου μνηστὴν διὰ τὴν δηλωθεῖσαν αἰτίαν ἐν τῇ ἀρχῇ τῆς ἑρμηνείας· καὶ ταῦτα μὲν περὶ μεμνηστευμένης ἑτέρῳ γυναικός. Εἰ γὰρ οὐ προέβη μνηστεία, ἀλλὰ συμφωνία δόσει προστίμου κατωχυρωμένη, οἷα εἰσὶ τὰ [226β A] σήμερον γινόμενα δεσμωτικὰ χαρτία, τιμωρηθήσεταί τις ἐκ τούτων παραβαίνων τὰ σύμφωνα καὶ συναλλάττων μεθ' ἑτέρου προσώπου γάμον. Γίνωσκε δέ, ὅτι καὶ ἀπὸ τοῦ μωσαϊκοῦ νόμου ἡ μνηστεία ὡς γάμος ἐλογίζετο καὶ ἡ μνηστὴ γαμετὴ κατωνομάζετο καὶ ὁ ταύτην ἀγόμενος ἕτερος ἀνὴρ ὡς μοιχὸς ἐκολάζετο. Φησὶ γὰρ ὁ νόμος ἐν τῇ Παλαιᾷ· καὶ «ἐταπείνωσε τὴν γυναῖκα τοῦ πλησίον», ἤως διεπαρθένευσε τὴν μνηστὴν τούτου· καὶ ἡ ἁγία παρθένος καὶ θεομήτωρ οὕτω γυνὴ τοῦ Ἰωσὴφ ἐχρημάτισε. Φησὶ γὰρ τὸ θεῖον καὶ ἱερὸν εὐαγγέλιον· [74α V] «μὴ φοβηθῇς [221α R] παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου». Ἀνάγνωθι καὶ

---

*⟨σχλ. Βαλσ. εἰς καν. 98 Πενθ. (=Σύντ. 2, $540^{16}/41^{31}$) || ⟨...⟨Βασ. 28.1.1 — Νε. Ἀλεξίου Α' ἔτ. 1092 (πβ. Dölger ἀρ. 1167) — Π. Διαθ. Ο', Δευτ. κβ' 24 — Κ. Διαθ., Ματθ. α' 20 || ⟩Μαλξ.*

---

*παρλπ. κώδδ.* || προβαλέσθαι *δρθ. ἐκ Συντ.*: προλαβέσθαι *AR*, προσλαβέσθαι *I*, πρὸς λαβέσθαι *V* || **65** ἡ[2] *δρθ. ἐκ Συντ.*: ὁ *κώδδ.* || **67** ἔχει *V* || **68** ἀπορία *ἐν τῇ ᾤᾳ κώδδ.* || τί δὲ *(ὡς Σύντ.) δρθ.*: τίδαι *κώδδ.* || **69** ἀγαγόμενος *δρθ. ἐκ Συντ.*: ἀγόμενος *κώδδ.* || **70** λύσις *ἐν τῇ ᾤᾳ κώδδ., ἐν τῷ κειμ. Σύντ.* || **71** πορνικῶς *δρθ. ἐκ Συντ.*: πορνικῶν *AR*, πορνικὸν *IV* || **72** ἀπορία *ἐν τῇ ᾤᾳ AR* || **73** λύσις *ἐν τῇ ᾤᾳ AR* || πρόσκειται *(ὡς Σύντ.) AR.*: πρόκειται *IV* || **76** δόσει *AIR*, δῶσ (σ *ὑπργεγρ.*) *V* || προτίμου *IV* || κατωχυρομένη *AR* || **77** δεσμοτικὰ *V* || οὐ τιμωρηθήσεταί τις ἐκ τούτου *ὡς Σύντ., ἀνεμέν.* οὐ τ.τ. ἐκ τούτου, ἀλλ' ὡς || **78** συναλλάττων *ἐγρ.*: συναλάττων *κώδδ.* || **80** κατωνονάζετο *I* || ἀγόμενος *δρθ. ἐκ Συντ.*: ἀγαγόμενος *κώδδ.* || **82** ἤως *κώδδ.*: ἤγουν *Σύντ.* || ἐπαρθένευσε *V* || **84** θεῖον καὶ ἱερὸν *(ὡς Σύντ.) IV*: ἱ. κ. θ. *AR* || **85** φοβηθῇς *(ὡς Σύντ.) AR*: -θεὶς *IV* || Μαριὰμ *κώδδ.*: Μαρίαν *Σύντ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τὴν ϛγ΄ νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, διοριζομένην λύεσθαι τὴν μνηστείαν, ἐὰν μετὰ ταύτην ἡ γυνὴ φωραθείη ἐγκυμονοῦσα ἐκ προϋποδοχῆς ἀλλοτρίων σπερμάτων.

**Κεφάλαιον σο΄. Περὶ μνηστείας, ἵνα ᾖ ὁ ἄῤῥην εἰς τὸν ιδ΄ χρόνον καὶ ἡ θηλεία εἰς τὸν ιβ΄**

Μνηστεῖαι παρ᾽ ἡμῶν ἐτυπώθησαν ἀληθεῖς, ὅσαι μετὰ τῆς ἱερᾶς εὐλογίας καὶ κατὰ τὸν ὡρισμένον ἡμῖν καιρὸν τελεσθεῖσαι γνωρίζονται· ἁρμόδιος δ᾽ ἂν εἴη μνηστείας ⟨καὶ⟩ γάμου καιρὸς τῆς μὲν θηλείας τὸν δωδεκαετῆ χρόνον διατρεχούσης, τοῦ δὲ ἄῤῥενος τὸν δέκατον τέταρτον διαμείβοντος· μετὰ δὲ τὴν ἱερὰν τῶν εὐχῶν ἐπῳδὴν καὶ τὴν συνήθη τοῦ ἀῤῥαβῶνος καὶ τοῦ φιλήματος παρατήρησιν, βραχέος ἢ καὶ πλείονος καιροῦ διαλείποντος, ὡς ἂν δόξειε τοῖς συναλλάττουσιν, ἀπαραιτήτως καὶ τὸν ἔννομον γάμον προβαίνειν κελεύομεν καὶ μὴ κατὰ ταὐτὸν συμβαίνειν ἐν ἡμέρᾳ μιᾷ πολλάκις καὶ ὥρᾳ. Εἰ δέ, πρὶν τὸν παρ᾽ ἡμῶν ὁρισθέντα ἐπιστῆναι καιρὸν καὶ τῶν εἰρημένων μὴ γενομένων παρατηρήσεων, μνηστεῖαι προβήσονται καὶ συμβόλαια, ταύτας μνηστείας ἀληθεῖς μηδὲ εἶναι μηδὲ ὀνομάζεσθαι, εἰ καὶ προσ[226α A]τίμου ποινὴ πρόσκειται· αἱ γὰρ κυρίως μνηστεῖαι [91α I] οὐ προστίμων λυθήσονται δόσεσιν, ἅπερ οὐδὲ τοῖς συμβολαίοις τὸ λοιπὸν συγγραφήσονται· ὅτι μηδὲ παρ᾽ αὐτῶν αἱ μνηστεῖαι κρατύνονται, ἀλλὰ διὰ τῆς τοῦ Θεοῦ ἐπικλήσεως, αἵπερ καὶ ἄλυτοι τὸ παράπαν μένουσι, μόναις λυόμεναι ταῖς αἰτίαις, αἷς καὶ οἱ γάμοι. Ἐπεὶ δὲ

---

*(Θέμ.) ρλη΄ 2, (Ρουμ.) ρμδ΄· πβ. Νομκ. Α΄ 6, Α΄ 42.*

**σο΄ 3 Μνηστεῖαι - 35 συνέρχεσθαι** ⟨*Βλάστ. Γ 15: 180*[31]*/82*[2] *(πβ. Δυοβουνιώτην σ. 69, θεω-*

---

|| **86** φιλοσόφου *(ὡς Σύντ.) AIR*: σοφοῦ *V* || **87** ἐγγυμονοῦσα *κώδδ.*

**σο΄: 1** ᾗ *δρθ. ἐκ πίν. V*: εἴη *κώδδ.* || ἄῤῥην *δρθ. ἐκ πίν. V*: ἄῤῥεν *κώδδ.* || χρόνον *IV*: ἔτος *AR* || θηλεία *AR*: θῆλυ *IV* || **2** δωδέκατον *A* || **3** νεαρὰ ἀλεξίου τοῦ βασιλέως *ἐν τῇ ᾤᾳ AI (μτ.* βασιλέως *προσθ.* νεαρὰ *I) R, ἐν τῷ κειμ. (παρλπ.* τοῦ) *V* || ἀληθεῖς *(ὡς Σύντ.) AR*: *παρλπ. IV* || **4** καὶ *(ὡς Σύντ.) A*: *παρλπ. IRV* || τελεσθεῖσαι *δρθ. ἐκ Συντ.*: τελεῖσθαι *κώδδ.* || ἁρμόδιος *δρθ. ἐκ Συντ.*: ἁρμοδίοις *κώδδ.* || **5** μνηστείας *δρθ. ἐκ Συντ.*: μνηστεία *κώδδ.* || καὶ *συμπλρ. ἐκ Συντ.*: *παρλπ. κώδδ.* || **6** δέκατον τέταρτον *IV*: ιδ΄ *AR*, τεσσαρεσκαιδέκατον *Σύντ.* || διαμείβοντος *κώδδ.*: διατρίβοντος *Σύντ.* || **7** δὲ *παρλπ. V* || **9** δόξειε *(ὡς Σύντ.) AIR*: δόξῃ *(ὡς J.G-R.) V* || ἔνομον *V* || **10** κατὰ ταὐτὸν *(ὡς J.G-R.) δρθ.*: κατ᾽ αὐτὸν *κώδδ.*, κατὰ ταυτὸ *Σύντ.* || **12** μνησθεῖαι *V* || **13** μὴ δὲ *(δὶς) κώδδ.* || **14** εἰ *παρλπ. V* || προτίμου *IV* || ποινῇ *V* || πρόσκειται *(ὡς Σύντ.) AR*: πρόκειται *IV* || **16** συγγραφήσονται *IRV κ. πρὸ δρθ. A*: ἐγγραφ- *A (μτ. δρθ. τοῦ* συ *εἰς* ἐ) *κ. Σύντ.* || μὴ δὲ *κώδδ.* || **18** λυόμεναι *δρθ. ἐκ Συντ.*: -ναις *κώδδ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

κατὰ τὴν παλαιὰν τῶν νόμων συνήθειαν μετὰ τὸν ἑπταετῆ χρόνον τῆς κόρης οὐ καλῶς αἱ μνηστεῖαι προὔβαινον, ἀδεῶς γὰρ ἐπὶ τὰς μνηστευομένας εἰσερχόμενος ἕκαστος τῇ συνεχεῖ θέᾳ καὶ τῷ ἐλευθερίῳ τῆς ὁμιλίας τὸ τοῦ ἔρωτος φλεγμαῖνον προσανέκαιον, ἡμεῖς καὶ τοῦτο θεσπίζομεν· τὰ μὲν κατὰ τὸν ἑπταετῆ χρόνον ἄχρι τοῦ ιδ΄ ἢ ιβ΄ τῆς ἡλικίας χρόνου [221β R] γινόμενα ὡς ἐν τύπῳ μνηστείας συμβόλαια μὴ τάξιν ὅλως ἐννόμου μνηστείας καὶ ἀσφαλοῦς ἀποφέρεσθαι, ἀλλ' ὡς ἐπερωτήσεις μόνον ἠσφαλισμένας κρίνεσθαί τε καὶ ἐνεργεῖν κατὰ τὸ ἔθος τῶν ἄλλων συναλλαγμάτων, ἐνεργεῖν δὲ τὸν παλαιὸν νόμον τὸν ἐπὶ τῇ μνηστείᾳ ἐκφωνηθέντα ἐν τοῖς κεκωλυμένοις προσώποις μόνον ἐπὶ τῇ ἀποζευχθείσῃ μνηστῇ, διὰ τὸ περιὸν τῆς παρὰ χριστιανοῖς ἐμπολιτευομένης καταστάσεως. Εἰ γὰρ καὶ ⟨μὴ⟩ μνηστεία ἐστὶ κατὰ τὸ ἀκριβὲς ἐντελὴς τὸ γινόμενον, ἀλλ' ὅτι σκοπὸν ἔχει⟨ν⟩ μνηστείας δοκεῖ καὶ θεμέλιος γάμου ἐντεῦθεν προκαταβάλλεται, καλῶς ἂν ἔχοι τὰ κεκωλυμένα τῷ νόμῳ πρόσωπα καὶ αὖθις κωλύεσθαι καὶ μηδένα εἰς γυναῖκα λαμβάνειν, ἣν ὁ παλαιὸς νόμος μνηστήν τινος γενομένην, καὶ τῆς μνηστείας λυομένης, οὐκ ἀφῆκεν ἑτέρῳ κατὰ γάμον συνέρχεσθαι.

**Κεφάλαιον σοα΄. Περὶ τὸ τί ἐστι μνηστεία καὶ μηδαμῶς συνίστασθαι ἐπὶ χρόνοις ἐλάττοσι τῶν ἑπτὰ καὶ ποῖαι εἰσὶ κυρίως μνηστεῖαι**

Μνηστεία ἐστὶν ἡ τῶν μελλόντων γενέσθαι γάμων ὑπόσχεσις· τὸ γὰρ προοικονομεῖν καὶ προκατασκευάζειν τὸ μετὰ ταῦτα μέλλον [227β A] γενήσεσθαι καὶ τὸ ἕλκειν καὶ φέρειν τινά τι πρᾶγμα εἰς ἑαυτὸν μνηστεύ-

---

*ϱοῦντα τὸ χωϱ. ἀνέκδ.)* || *⟨...⟨Νε. 'Αλεξίου Α΄ ἔτ. 1084 (πβ. Dölger ἀϱ. 1116)* || *⟩Μαλξ. (Θέμ.) ϱλθ΄ 1, (Ρουμ.) ϱμε΄· πβ. Νομκ. Α΄ 2, Φωτειν. Α΄ 21.9.*

**σοα΄ 3** Μνηστεία - **16** μνηστεύεται *⟨'Αϱμ. 4.1.1-6* || *⟨...⟨Πϱόχ. Νόμ. 1.1-6 — Βασ. 28.1.1, 4-5.*

---

||ἐπεὶ δὲ *δϱθ. ἐκ Συντ.*: ἐπειδὴ *κώδδ.* || **20** τὰς μνηστευομένας *δϱθ. ἐκ Συντ.*: τῆς -νης *κώδδ.* || **21** εἰσερχόμενος *δϱθ. ἐκ Συντ.*: -νοι *κώδδ.* || συνεχῆ *V* || **22** ἔρρωτος *AR* || φλεγμαῖνον *(ὡς Σύντ.) AR*: φλεγόμενον *IV* || **23** *μτ.* ἑπταετῆ *ἀνεμέν.* τῶν συμβαλλόντων *(ὡς Σύντ. κ. J.G-R.)* || *πϱὸ* ἄχρι *πϱσθ.* καὶ εἰς τὸ ἑξῆς *J.G-R.* || τοῦ *παϱλπ. V* || **24** γινόμενα *(ὡς J.G-R.) κώδδ.*: γενόμενα *Σύντ.* || **29** περιὸν *(ὡς Σύντ.) κώδδ.*: περιούσιον *J.G-R.* || παραχριστιανοῖς *V* || **30** μὴ *πϱσθ. ἐκ J.G-R. κ. Συντ.*: παρλπ. *κώδδ.* || **31** ἔχειν *δϱθ. ἐκ Συντ. κ. J.G-R.*: ἔχει *κώδδ.* || **32** ἔχοι *(ὡς Σύντ.) AR*: ἔχῃ *I, ἐφθϱμ. V* || **34** γενομένην *(ὡς Σύντ. κ. J.G-R.) AIR*: γινομένην *V* || **35** *μτ.* κατὰ *πϱσθ.* τὸν *κώδδ., ὅπεϱ ὠβλ. (παϱλπ. Σύντ. κ. J.G-R.).*

**σοα΄ : 2** ἑπτὰ *AR: ζ΄ IV* || εἰσὶν *R* || **3** ματθαίου *ἐν τῇ ᾤᾳ AIR, ἐν τῷ κειμ. V* || **5** *πϱὸ* φέ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



εσθαι λέγουσιν· ἐμφαίνει δὲ καὶ αὐτὸ τὸ ὄνομα τῆς μνηστείας μνήμην τοῦ ἐπαγγέλματος. Μνηστεία ἐστὶν ἡ τῶν μελλόντων γάμων ἐπαγγελία, καὶ ἐγγράφως καὶ ἀγράφως μνηστεία λέγεται συνίστασθαι. Οἱ συναινοῦντες τῷ γάμῳ καὶ τῇ μνηστείᾳ συναινοῦσιν· ἀεὶ δὲ συναινεῖν δοκεῖ ὁ πατήρ, εἰ μὴ ῥητῶς ἐναντιοῦται. Παρὰ γνώμην τῆς ὀρφανῆς ὁ ἐπίτροπος οὐ συνίστησιν αὐτῇ μνηστείαν οὔτε διαλύει τὴν γενομένην. Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται διαλύειν τὴν μνηστείαν, οὐ μὴν καὶ τῆς αὐτεξουσίας. Ὡς ἐπὶ τῶν γάμων, οὕτω καὶ ἐπὶ τῆς μνηστείας, οἱ συναπτόμενοι συναινοῦσι· δεῖ οὖν καὶ τὴν ὑπεξουσίαν συναινεῖν. Δοκεῖ δὲ τῷ πατρὶ συναινεῖν ἡ μὴ ἀντιλέγουσα. Τό[222$^{\alpha}$ R]τε δὲ μόνον ἀντιλέγειν δύναται, ὅτε τοῖς τρόποις ἀνάξιον καὶ αἰσχρὸν αὐτῇ μνηστεύεται. Ἡ μνηστευομένη ἑτέρῳ καὶ ἑτέρῳ γαμηθεῖσα ἀτιμοῦται. Ἡ ἑτέρῳ μνηστευθεῖσα ἀπαγορεῦσαι τὴν μνηστείαν καὶ ἑτέρῳ γαμηθῆναι οὐ κεκώλυται, γενομένου δηλονότι ῥεπουδίου ἤτοι διαζυγίου. Ὁ τὸ γινόμενον νοῶν καλῶς μνηστεύεται, τουτέστιν ὁ μὴ ἥττων τῶν ἑπτὰ ἐτῶν. Νεαρὰ τοῦ καίσαρος Λέοντος οὕτω φησί· «Καὶ ἡμεῖς θεσπίζομεν, μηδαμῶς συνίστασθαι μνηστείαν ἐπὶ χρόνοις ἐλάττοσι τῶν ἑπτά· μήτε μὴν ἱεροτελεστίαις βεβαιοῦσθαι τὴν μνηστείαν, τοῦ τρισκαιδεκάτου ἔτους ἐνδεούσης τῆς νύμφης, τοῦ δὲ νυμφίου τὸν τεσσαρεσκαιδέκατον μὴ διαμετροῦντος. Ἀλλὰ τοῦτο μὲν ἀπηγόρευται πρὸς τὴν κοινὴν καὶ δημοσίαν τοῦ πολιτεύματος χρῆσιν· εἰ δὲ βασιλεύς, οἷα πολλὰ συμβαίνει, πράττων οἰκονομίαν τινά, καὶ μνηστείαν καὶ τὴν ἐξ ἱερολογίας συνάρμοσιν τοῖς μνηστευομένοις ἔνδον τῶν διορισθέντων [228$^{\alpha}$ A] ἐτῶν ἐπιψηφιεῖται, τοῦτο πρὸς τὸν νόμον οὐδὲν ἀντίκειται· ἔξεστι γὰρ τοῖς ἐκ Θεοῦ τὴν οἰκονομίαν τῶν κοσμικῶν ἐγκεχειρισμένοις πραγμάτων ὑπέρτερον ἢ κατὰ νόμον οἰκονομεῖν, ὃς ἄγει τοὺς ὑπηκόους».

---

*8-10 — Σύν. Μ 15.1,3, 5-6 — Βλάστ. Γ 15: 184* || *πβ. Νομκ. Α' 11, Φωτειν. Α' 21.7-8* || **16** Ἡ μνηστευομένη - **43** λογίζεται 〉*Ἀρμ. 4.1.8-13* || 〈...〈*Πρόχ. Νόμ. 1.8 — Βασ. 21.2.13 § 3, 28.1,*

---

ρειν *προσθ.* τὸ *V* || **8** καί¹ *παραλ. IV* || **10** *μτ.* πατὴρ *προσθ.* τῇ θυγατρὶ *Ἀρμ.* || ἐναντιοῦται *διορθ. ἐξ Ἀρμ.*: -οῦνται *κώδδ.* || **11** διαλύειν *R* || **15** εἰ μὴ *IV* || δύναται *I*: -τε *ARV* || **17** γαμηθεῖσα [*(ὡς Ἀρμ. πλὴν κώδ. H(aenelianus)*] *A*: -θῆναι *IRV*, (-θεῖναι *κώδ. H τοῦ Ἀρμ.)* || **20** *πρὸ* ἥττων *προσθ.* ὧν *Ἀρμ.* || *τὰς λ.* Νεαρὰ - Λέοντος *εἰσγμ. ἐξ Ἀρμ. εἰς τὸ κείμ.: μόνον ἐν τῇ ᾤᾳ κώδδ.* || οὕτως *Ἀρμ. (πλὴν κώδ. H)* || **21** φησὶ *παραλ. V* || φησί· Καὶ *(ὡς Ἀρμ.). ἐστίξ.*: φησὶ καὶ *(ἄ. στίξ.) AR* || καὶ ἡμεῖς φησὶ *I* || **22** ἐλάττουσι *V* || **23** τρεῖς (καὶ) δεκάτου *V* || **24** τέσσαρες (καὶ) δέκατον *IV* || **27** συνάρμοσιν *(ὡς Ἀρμ.) IV*: συναρμόσιν *AR* || τοῖς *(ὡς Ἀρμ.) AR*: τῆς *IV* || μνηστευομένοις [*ὡς Ἀρμ. (πλὴν κώδ. H)*] *A*: μνηστευομένης *IRV κ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



⟨Ἡ δὲ⟩ νεαρὰ τοῦ καίσαρος Ἀλεξίου ἐκείνας εἶναι φησὶ κυρίως μνηστείας καὶ ἀτεχνῶς ἰσοδυναμούσας γάμῳ, ὅσαι καὶ τὸν χρόνον, ὃν ἡ τοῦ βασιλέως καίσαρος Λέοντος θεσμοθεσία ὡρίσατο, ἀκέραιον ἔσχον παρ' ἑαυταῖς καὶ τὴν ἱερὰν εὐλογίαν ἐπακολουθοῦσαν ἐγνώρισαν. Εἰ δὲ μνηστεῖαί τινες κατὰ τὴν τοῖς πολλοῖς συνήθη ἀκολουθίαν ἤδη γεγόνασι καὶ συμβόλαια μὲν ἐξετέθησαν, οὔπω δὲ ὁ τακτὸς ἐπέστη καιρός, καθ' ὃν ἡ τοῖς χριστιανοῖς ὀφειλομένη εὐλογία εἴωθε γίνεσθαι, καὶ οὐδὲ αἱ συνήθεις ἐπὶ τοῖς μνηστευσαμένοις εὐχαὶ διὰ τοῦ ἱερέως ἐξεφωνήθησαν, ταύτας μνηστείας μὲν ἀκριβεῖς, ὅσον κατὰ τὴν ἐκκλησιαστι[74β V]κὴν ἀκριβολογίαν, μηδὲ εἶναι μηδὲ ὀνομάζεσθαι· ὡς ἁπλῶς δὲ ἀρεσκείας ἀνθρώπων δι' [222β R] ἐπερωτήσεως κατησφαλισμένας τὸ ἐνεργὸν ἐπιφέρεσθαι. Ὅτι, ἐὰν ἀτελὴς γένηται μνηστεία καὶ οὔπω δεκτὴ γάμου, παράνομός ἐστιν ἡ μνηστεία καὶ ἀντ' οὐδενὸς λογίζεται. Ὁ μνηστευσάμενος κόρην καὶ μὴ συμφωνήσας χρόνον ἐν τῇ μνηστείᾳ ὀφείλει ταύτην, εἰ μὲν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγει, εἴσω διετίας γαμεῖν· εἰ δὲ ἐν ἀπουσίᾳ, εἴσω τριετίας· εἰ δὲ ὑπέρθηται, δύναται ἡ κόρη [91β I] ἑτέρῳ συνάπτεσθαι. Σημείωσαι δέ, ὅτι τὸ τοιοῦτον ἐπὶ ἐφήβων νοεῖται. Ἐξ εὐλόγου αἰτίας καὶ περαιτέρω τετραετίας ὑπερτίθεται ἡ μνηστεία, τυχὸν διὰ νόσον τοῦ μνηστῆρος ἢ τῆς μνηστῆς ἢ θάνατον γονέων ἢ διὰ κεφαλικὰ ἐγκλήματα ἢ μακρὰς ἀποδημίας ἐξ ἀνάγκης γινομένας. Μνηστεύεταί τις καὶ παρὼν δι' ἑαυτοῦ καὶ διὰ μέσου καὶ δι' ἐπιστολῆς. [228β A] Καὶ μεταξὺ ἀπόντων γίνεται μνηστεία, ἐὰν μέντοι δέξωνται τὸ πραχθέν. Τὸ πένθος τοῦ ἀνδρὸς οὐ κωλύει τὴν γυναῖκα μνηστευθῆναι. Μετὰ τὸ συστῆναι τὴν μνηστείαν οὐ

---

*12-15 — Σύν. Μ 15.7, 9 — Νε. Λέοντος ϛ' 109 — Νε. Ἀλεξίου Α' ἔτ. 1084 (πβ. Dölger ἀρ' 1116) — Βλάστ. Γ 15: 184* || **43** Ὁ μνηστευσάμενος - **46** συνάπτεσθαι ⟨*Ἀρμ. 4.1.17* || ⟨...⟨ *Πρόχ. Νόμ. 1.9 — Βασ. 28.1.16 — Σύν. Μ 15.10 — Βλάστ. Γ 15: 185* || *πβ. Νομκ. Α' 22, Φωτειν. Α' 21.3* || **46** Σημείωσαι - **47** νοεῖται ⟨*σχλ. εἰς Ἀρμ. 4.1.17: 470 σημ. 9* || **47** Ἐξ εὐλόγου - **53** μνηστευθῆναι ⟨*Ἀρμ. 4.1.18-21* || ⟨... ⟨*Πρόχ. Νόμ. 1.10-12 — Βασ. 21.2.10, 28.1.2-3, 14, 17 — Σύν.Μ 15.8, 11 — Βλάστ. Γ 15: 185* || *πβ. Φωτειν. Α' 21.4-5* || **53** Μετὰ - **58**

---

*κῶδ. Η τοῦ Ἀρμ.* || **31** ἡ δὲ *προσθ. ἐξ Ἀρμ.* || τὰς λ. νεαρὰ -Ἀλεξίου *εἰσγμ. ἐξ Ἀρμ. εἰς τὸ κείμ. : μόνον ἐν τῇ ὤᾳ κώδδ.* || **33** ἀκαίρεον *V* || **35** τὴν *δρθ. ἐξ Ἀρμ.*: τοὺς *AIR, δυσανγν. V* || συνήθεις *IV*, -θει *κῶδ. Η τοῦ Ἀρμ.* || **38** εὐχὰς *AR* || ἐξεφωνήθεισαν *V* || **40** μὴ δὲ *(δὶς) κώδδ.* || **42** νεαρὰ *ἐν τῇ ὤᾳ AR κ. κῶδ. Η τοῦ Ἀρμ.* || **44** χρόνον *V*: χρόνῳ *A*, χρόνων *IR* || **45** τριετείας *V* || **46** ση(μείωσαι) *ἐν τῇ ὤᾳ IV* || **48** τετραετίας *(ὡς Ἀρμ.) AR*: τε τριετίας *IV* || **49** διακεφαλικὰ *ARV* || μακρὰς *ἐγρ.*: -ᾶς *κώδδ.* || **50** ἐξανάγκης *V* || γινομένας *(ὡς Ἀρμ.)*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



δύνανται οἱ τῆς κόρης γεννήτορες ἀναγκάζειν τὸν μνηστῆρα παρέχειν ἐγγυητὴν καὶ λαμβάνειν τὴν προῖκα, δαπανηρὸν ὄντα πολλάκις, ἢ μὴ διδόντος διαλύειν τὴν μνηστείαν· ἀλλ᾽ ἐκ παντὸς μὲν τελεῖται ὁ γάμος, παρέχεται δὲ ἡ προίξ, καὶ ἐν συνεστῶτι τῷ γάμῳ εἰ βλέπει ἡ γυνὴ δαπανωμένην τὴν προῖκα, τότε δύναται κινεῖν.

**Κεφάλαιον σοβ΄. Ἐκ τῶν ἐρωτήσεων τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κυροῦ Μάρκου**

Ἠῤῥαβωνίσατό τις γυναῖκα καὶ ἐτελεύτησε πρὸ τοῦ ἱερολογηθῆναι μετ᾽ αὐτῆς, ὡς νενόμισται, καὶ πρὸ τοῦ συναφθῆναι αὐτῇ· ἀκίνδυνόν ἐστι ταύτην λαβεῖν τὸν τούτου ἀδελφὸν ἢ οὔ; Τὸ καλὸν οὐκ ἔστι καλόν, εἰ μὴ καλῶς γένηται. Εἰ γοῦν ἡ μνηστεία, ἤτοι ὁ ἀῤῥαβών, ἐτελέσθη κατὰ τὴν ὑποτύπωσιν τῆς νεαρᾶς νομοθεσίας τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, μετὰ τελετῆς τῶν συνήθων ἁγίων εὐχῶν, [223α R] τῆς μὲν γυναικὸς οὔσης δωδεκαετοῦς, τοῦ δὲ ἀνδρὸς τὸν τεσσαρεσκαιδέκατον χρόνον ἀνύσαντος, οὐ λήψεται ταύτην εἰς γάμον ὁ ἀδελφὸς αὐτοῦ· ὁ γὰρ οὕτω τελεσθεὶς ἀῤῥαβὼν ἐν πᾶσι τῷ νομίμῳ γάμῳ ταὐτίζεται. Εἰ δὲ κατὰ τὴν κρατοῦσαν συνήθειαν, ὡς μανθάνομεν, εἰς πάντα σχεδὸν τὰ μέρη τοῦ νότου καὶ τῆς ἀνατολῆς ἀλλοτρόπως ὁ θανὼν τὴν περιοῦσαν ἠῤῥαβωνίσατο, συζευχθείη νομίμως αὐτῇ ὁ τούτου ἀδελφός.

*Συνοδικὴ διάγνωσις περὶ μνηστείας· ὅτι γυνή τις ἔλαβεν εὐχὴν μνηστείας μετά τινος Ἰωάννου, δεκαετὴς οὖσα τότε τῆς ἡλικίας, καὶ βούλεται διαζυγῆναι* [229α A] *ἐκ τοῦ μνηστευσαμένου αὐτήν, λαβεῖν τῷ δευτέρῳ ἐξαδέλφῳ αὐτοῦ*

Κόρη τις, Εἰρήνη καλουμένη, ἔλαβεν εὐχὴν μνηστείας μετά τινος Ἰωάν-

---

κινεῖν ⟨*Ἁρμ. 4.1.23* || ⟨...⟨*Πεῖρα 25.7* || *πβ. Νομκ. Α΄ 23.*

**σοβ΄ 3** Ἠῤῥαβωνίσατό - **14** ἀδελφὸς ⟨*ἐρτ. πτρχ. Ἀλεξανδρ. Μάρκου κ. ἀπκρ. Βαλσ.* (=*Σύντ. 4, 453*$^{4-18}$) || ⟨... ⟨*Νε. Ἀλεξίου Α΄ ἔτ. 1084 (πβ. Dölger ἀρ. 1116)* || ⟩*Μαλξ. (Θέμ.) ρμ΄ 1-3,*

---

*A*: -ης *IV, δυσανγν. R* || **54** δύναται *AR κ. κῶδ. H τοῦ Ἁρμ.* || **55** λαμβάνην *AR* || **56** διαλύει *V*.

**σοβ΄ : 3** ἐρώτησις *ἐν τῇ ῴᾳ I, ἐν τῷ κειμ. μτ. τὸν τίτλ. V* || ἐτελεύτησεν *IV* || πρὸ *AIR*: πρὶν *V* || **4** αὐτῆς *δρθ. ἐκ πίν. AR κ. Συντ.*: αὐτοῦ *κώδδ.* || ἐστὶν *V* || ταύτη *IV* || **5** βαλσαμὼν ἀπόκρισις *ἐν τῇ ῴᾳ AR*, ἀπ. βαλσ. *ἐν τῇ ῴᾳ IV* || εἰ *AIR*: ἐὰν *V* || **6** γενήται *V* || **7** κυρίου *Σύντ.* || **9** μὲν *παρλπ. Σύντ.* || τέσσσαρες καὶ δέκατον *V* || **11** *μτ.* τελεσθεὶς *προσθ.* ὁ *V* || εἰ *AIR*: οἱ *V* || **12** μανθάνομεν *A*: -νωμεν *IRV* || **14** ἀδελφὸς *κώδδ.*: αὐτάδελφος *Σύντ.* || **15** τις

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



νου, δεκαετὴς οὖσα τότε τὴν ἡλικίαν· λαληθείσης δὲ τῆς περὶ τούτου ἀθεμίτου μνηστείας, γέγονε σημείωμα δικαστικὸν ἐπιτρέπον διαζυγῆναι τοὺς ταύτῃ μνηστευσαμένους διὰ τὸ εἶναι τὴν μνηστείαν, ὡς εἴρηται, παράνομον. Βούλεται οὖν σήμερον ἡ Εἰρήνη νομίμως συναφθῆναι τῷ Θεοδώρῳ, δευτέρῳ ὄντι ἐξαδέλφῳ τοῦ Ἰωάννου, καὶ ἐρωτᾷ, εἰ ἔχει τινὰ παρεμποδισμόν. Ἠξίωσε τοίνυν τὴν ἡμῶν μετριότητα καὶ τὴν ἱερὰν ἀδελφότητα μαθεῖν, εἴπερ οὐκ ἔχει κωλύμην τινὰ τὸ περὶ οὗ γέγονεν ἡ γραφὴ συνάλλαγμα. ⟨Ἤκουσεν οὖν ἐξ αὐτῆς καὶ ἐκ τῆς παρουσιαζούσης τῶν ἀδελφῶν ὁμηγύρεως, ὅτι τὸ τοιοῦτον συνάλλαγμα⟩ πανταχόθεν ἀκώλυτόν ἐστιν. Ἐπεὶ γὰρ ἡ μετὰ Ἰωάννου τελεσθεῖσα μνηστεία ὡς ἀνυπόστατος λέλυται διὰ τὴν τῆς Εἰρήνης ἀνηβότητα, καλῶς ἡ Εἰρήνη δευτέρῳ ἐξαδέλφῳ αὐτοῦ κατὰ νόμον γάμου συζευχθήσεται· οὔτε γὰρ συγγενικὸν πρόσωπον τὴν Εἰρήνην λογίζεται ὁ Θεόδωρος, οὔτε τοῖς ἐξ ἀγχιστείας δεσμοῖς καὶ ὅροις συσφίγγεται.

**Κεφάλαιον σογ΄. Ἐρώτησίς τινος μοναχοῦ Διονυσίου περὶ μνηστείας**

Ἐὰν κόρη τις πέμπτον ἄγουσα τῆς ἡλικίας ἔτος μνηστευθῇ ἀνδρί, [223β R] ὁ δὲ διὰ τὴν ἀνηβότητα ταύτης ἀποστῇ, ἡ δὲ καὶ πάλιν ἑτέρῳ ἀνδρὶ μνηστευθῇ ἑβδόμῳ χρόνῳ τῆς ἡλικίας αὐτῆς, ὁ δὲ ἀνὴρ τὰ ἴσα τῷ προ-

---

*(Ρουμ.) ρμς΄* || **18** Κόρη - **32** συσφίγγεται ⟨*σχλ. Βαλσ. εἰς καν. 68 Βασιλείου (=Σύντ. 4, 223*[21]*/24*[2]*)* || ⟨...⟨*συνοδ. ἀπφ. πτρχ. Θεοδοσίου Α΄ (πβ. Reg. Patr. ἀρ. 1152* || ⟩ *Μαλξ. (Θέμ.) ρμα΄ 1-2, (Ρουμ.) ρμζ΄· πβ. Νομκ. Α΄ 16, Α΄ 42.*

**σογ΄ 2** Ἐὰν κόρη - **6** ἢ οὔ ∼ *ἐρτ. Διονυσίου (=Σύντ. 5, 381)* || **7** Λέγομεν - **13** ἀνηβότητα

---

*IRV*: της *A* || **16** τῆς ἡλικίας *κώδδ.: ἀνεμέν.* τὴν -αν *(πβ. κατωτ. στχ. 19)* || **17** τῷ β΄ *V* || **19** τὴν *AIV*: τῆς *R* || **21** ταύτην *IRV*, τάχα *Σύντ.* || μνηστευομένους *V* || **24** ἐμποδισμὸν *IV* || τοίνυν *παρλπ. Σύντ.* || **25** οὐκ *παρλπ. IV* || *μτ.* τινὰ *προσθ.* ἐμπιδισμὸν (*sic, γρ.* ἐμποδισμὸν) *ἐν τῷ κειμ. V, ὃ ἑρμήνευμα εἰς τὴν λ.* κωλύμην *παρεισαχθὲν ἐκ τῆς ὤας εἰς τὸ κείμ. μᾶλλον ἢ λ. ὀφειλομένη εἰς ἐπανάληψιν τοῦ προηγμ. (στχ. 24)* ἐμποδισμὸν *διὰ πήδ. ἀπὸ τοῦ ἐν στχ. 25 εἰς τὸ ἐν στχ. 23* τινὰ || **26** συνάλαγμα *V* || ἤκουσεν **-(27)** συνάλλαγμα *προσθ. ἐκ Συντ. : παρλπ. κώδδ. [διὰ πήδ. τοῦ γρφ. τοῦ x ἀπὸ ὁμ. εἰς ὁμ.]* || παρουσιαζούσης *Σύντ.: ἀνεμέν.* παρρησιαζούσης *(πβ. κατωτ. σος΄ 67/68)* || **27** ἀκόλυτον *V* || **28** ἐστὶν *V* || τελεσθεῖσα *δρθ. ἐκ Συντ.:* τεχθεῖσα *κώδδ.* || **29** *μτ.* εἰρήνη *προσθ.* τῷ *IV* || δευτέρῳ *AIR*: β΄ *V* || **30** συζευχθῆναι *V* || **32** *μτ.* συσφίγγεται *προσθ.* διὰ τὸ ὑπερβῆναι τὸν ἐξ ἀγχιστείας ἕκτον βαθμὸν *Σύντ.*

**σογ΄: 1** ἐρώτησις *μόνον ἐν τῇ ὤᾳ IV* || τινὸς μοναχοῦ περὶ μνηστείας διονυσίου *V* || **2**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τέρῳ φρονήσας ἀποῤῥαγῇ ταύτης, ἡ δὲ τρισκαιδέκατον ἄγουσα χρόνον βουληθῇ νομίμως ἀνδρὶ συναφθῆναι καὶ ἱερολογηθῆναι, κεκώλυται ἢ οὔ; Λέγομεν μὴ κεκωλῦσθαι ταύτην, διά τε τὸ παρ' ἡλικίαν μνηστευθῆναι καὶ μὴ συναριθμεῖσθαι ὅλως τὰς τοιαύτας μνηστείας ταῖς ἐγνωσμέναις [229β A] τῇ νεαρᾷ νομοθεσίᾳ μνηστείαις, καὶ προσέτι δέ, διὰ ⟨τὸ⟩ τοὺς προηγησαμένους μνηστῆρας, τοὺς τὴν κλῆσιν διαψευσαμένους διὰ τὸ ἔκθεσμον, δικαίως ἤδη διαστῆναι αὐτῆς. Καί τοι, εἰ καί τις ἐκείνων τῆς μνηστείας ἀντεποιεῖτο, ἱκανὸν τῇ κόρῃ βοήθημα πρὸς ἀθέτησιν ἐκείνου τὸ μὴ δοκεῖν συναινεῖν διὰ τὴν ἀνηβότητα.

**Κεφάλαιον σοδ'. Περὶ μνηστείας ἐρώτησις**

Ἐμνηστεύσατό τις κόρην οὐ μετὰ τῶν συνήθων ἱερῶν εὐχῶν, ἀλλὰ διὰ συναινέσεως μόνης καὶ συμβολαίων γραφῆς· ἔξεστιν αὐτῷ συζευχθῆναι τῇ αὐταδέλφῃ τῆς τοιαύτης κόρης ὡς τεθνηκυίας ἢ οὔ; Ἕτερος δέ τις, τὸν αὐτὸν τρόπον γυναῖκα μνηστευσάμενος, ἄλλην ἠγάγετο θανούσης ἐκείνης· ἆρα οὖν οὗτος ὡς δίγαμος λογισθήσεται ἢ οὔ; Περὶ ὧν ἡ ἐρώτησις, ὁ μὲν πρῶτος, εἰ μὲν ἑπταετὴς ἡ κόρη ἦν ἢ ἐπέκεινα, ὁπότε κατὰ συναίνεσιν μόνην ἡ μέσον τούτων μνηστεία προέβη, κωλυθήσεται τὴν αὐταδέλφην αὐτῆς κατὰ τὸν νόμον εἰς γυναῖκα λαβεῖν, θανούσης δηλονότι ἐκείνης, εἰ δὲ ἐλάτ[92α I]των ἐτύγχανε τῶν ἑπτά, ἐν τοιαύτῃ γὰρ ἡλικίᾳ οὐδὲ διὰ μόνης συναινέσεως μνηστεία ὅλως συνισταμένη ἐπιγινώσκεται, ἀμέμπτως καὶ ἀκα-

---

⟨*ἀπκρ. Ἡλιοῦ Κρήτης (= Σύντ. 5, 381[26-34])* || ⟨...⟨*Νε. Λέοντος ς' 109 — Νε. Ἀλεξίου Α' ἔτ. 1084 (πβ. Dölger ἀρ. 1116).*

**σοδ' 2** Ἐμνηστεύσατό - **6** ἢ οὔ ⟨*ἐρτ. Κωνσταντίνου Καβάσιλα (=Σύντ. 5, 419[9-14])* || **6** Περὶ

---

μνηστευθῆναι *V* || **3** ἡ δὲ *AIR*: εἰ δὲ *V* || **4** εὐδόμῳ *IV* || πρωτέρῳ *I* || **5** ἡ δὲ *AIR*: εἰ δὲ *V* || τρὶς καὶ δέκατον *V* || **7** ἡλιοῦ μητροπολίτου κρήτης ἀπόκρισις *ἐν τῇ ᾤᾳ AR*, (ἀπ. ἡλ. μητρ. κρ.) *IV* || παρὰ ἡλικίαν *V* || **9** νομοθεσία μνηστείαις τῇ νεαρᾷ *V* || μνηστείαις *(ὡς Σύντ.) V*: μνηστεία *AIR* || πρόσετι *V* || τὸ *προσθ. ἐκ Συντ.*: *παραλπ. κώδδ.* || **10** *μτ.* μνηστῆρας *προσθ.* εἴγε μνηστῆρας δεῖ καλεῖν *Σύντ.* || **11** δικαίως *δρθ. ἐκ Συντ.*: δίκαιον *κώδδ.* || ἤδη *AIR*: εἶναι *V* || διαστῆναι *AIR*: δικαστῆναι *V* || καί τοι *δρθ. ἐκ Συντ.*: καί τι *κώδδ.* || εἰ καί τις *IV*: ἐκαίτις *AR* || **12** ἀντεποῖειτω *V* || **13** δοκεῖ *IV*.

**σοδ' : 1** ἐρώτησις *παραλπ. V* || **2** λέοντος καὶ κωνσταντίνου τῶν βασιλέων *ἐν τῇ ᾤᾳ AIR* || ἀπορία *ἐν τῇ ᾤᾳ κώδδ.* || ἱερῶν *παραλπ. V* || **3** συναινέσεως *AIR*: συναίσεως *V* || μόνης *παραλπ. Σύντ.* || **4** αὐταδέλφῃ *AIR*: ἀδελφῇ *V* || τεθνηκυία *IRV* || **6** ἄρα οὖν *(ὡς Σύντ.) V* : ἄρ' οὖν *AIR* || λύσις *ἐν τῇ ᾤᾳ κώδδ.* (ύσις *I*) || περὶ ὧν ἐρώτησας *Σύντ.* || **7** ἑπταετὴς ἦν ἡ κόρη *Σύντ.* || συναίνεσιν *AIR*: σύναισιν *V* || **8** μέσων *AR* || **9** αὐτῆς *κώδδ.*: ταύτης *Σύντ.* || **11** συναι-



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τηγορήτως αὐτῇ συζευχθήσεται· τοὺς χρονικοὺς ὅρους τῶν νόμων οὔτε καινίζειν, οὔτε ὑπερβαίνειν δυνάμεθα. Ὁ δέ γε δεύτερος, ἐπειδὴ τῇ συναινέσει τῆς [224α R] μνηστείας ἡ ἱεροτελεστία, ὡς ἡ ἀφήγησις, οὐκ ἐπηκολούθησεν, οὐδαμῶς ὡς δίγαμος λογισθήσεται· γάμον γὰρ οὐ λογοπραγία συνίστησιν, ἀλλ' οὐδὲ φανερὰ ἢ λαθραία συνάφεια, πορνεία γάρ ἐστιν αὕτη, εὐχῶν δὲ ἱερῶν ἐπῳδαὶ καὶ τὰ ταύταις ἀκόλουθα. Πῶς δὲ καὶ λογισθήσεται δίγαμος ἢ ὀνομασθήσεται ὁ μὴ γάμου πεπειραμένος τοιούτοις προνομίοις ἐγκοσμουμένου; [230α A] Καθόλου δὲ τὰ τῶν συναινέσεων μόνων, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ἐπί τε συστάσει μνηστείας καὶ ἐπὶ γάμου λύσει, τὸ ἄπρακτον ἐκ τῶν διαληφθεισῶν νεαρῶν διατάξεων ἀπηνέγκαντο, κἂν ἐπὶ τῶν πρεσβυτέρων νομοθεσιῶν τὸ κράτος ἐκέκτηντο.

[75α V] **Κεφάλαιον σοε΄. Ἔτι περὶ μνηστείας· ὅτι κληρικός τις ἠῤῥαβωνίσατο γυνὴ ἑπταετὴς οὖσα καὶ διὰ τὸ εἶναι παράνομον ἀπέστη ἀπ' αὐτῆς καὶ μετὰ χρόνους ὀκτὼ πρὸς γάμον ταύτην νομίμως ἠγάγετο**

Σημείωμα κατέστρωται τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου κυροῦ Νικολάου, τάδε κατὰ ῥῆμα διαλαμβάνον· «Προκαθημένης τῆς ἡμῶν μετριότητος, συνεδριαζόντων καὶ τῶν ἱερωτάτων ἀρχιερέων, ὁ θεοφιλέστατος μητροπολίτης Κυζίκου Συμεών, συνεδριάζων τῇ ἡμῶν μετριότητι, εἶπεν, ὡς κληρικὸς τῆς κατ' αὐτὸν μητροπόλεως Ἰωάννης Διαβατηνὸς ὀνομαζόμενος ἐμνηστεύσατο Μαρίαν τινὰ τοῦ Θεοφίλου καλουμένην, ἡλικίας οὖσαν ἑπταετοῦς· μαθὼν δὲ τὴν μνηστείαν εἶναι παράνομον διὰ τὴν τῆς μνηστῆς ἀνηβότητα, τότε μὲν ἀπέστη ταύτης, μετὰ δὲ χρόνους ὀκτὼ νομίμως ταύτην πρὸς ⟨γάμον⟩ ἠγάγετο· καὶ ταῦτα λέγων ἤθελε τὸ ποιητέον ἐπὶ

---

ῶν - **22** ἐκέκτηντο ⟨*ἀπκρ. Ἰωάννου Κίτρους ( = Σύντ. 5, 420$^{8-26}$)* || ⟨...⟨*Νε. Λέοντος ϛ' 109 — Νε. Ἀλεξίου Α' ἔτ. 1084 κ. 1092 (πβ. Dölger ἀρ. 1116 κ. 1167).*
**σοε΄ 4** Σημείωμα - **26** ἀδιάῤῥηκτος ⟨*σχλ. Βαλσ. εἰς Νομοκάνονα 13.2 (=Σύντ. 1, 292$^{17}$/93$^{14}$)*

---

νέσεως *AIR*: συναίσεως *V* || **12** *μτ.* χρονικοὺς *προσθ.* γὰρ *Σύντ.* || **13** δεύτερος *AIR*: β' *V* || **14** ἡ$^{1}$ *παραλ.* *V* || *πρὸ* ἱεροτελεστία *προσθ.* συνήθης *Σύντ.* || ἱεροτελεστεία *V* || ἡ$^{2}$ *παραλ.* *IV* || ἐπικολούθησεν *I,* ἐπεκολούθησεν *AR* || **16** ἢ *IV*: ἡ *AR* || πορνία *V* || **18** *τὰς λ.* ἢ ὀνομασθήσεται - **19** καθόλου δὲ *παραλ.* *IV* || τὰ *ὀρθ. ἐκ Συντ.*: διὰ *κώδδ.* || **21** λύσις *V* || ἀπηνέγκατο *IV κ. Σύντ.* || **22** κἂν *κώδδ.*: εἰ καὶ *Σύντ.* || νομοθεσιῶν *AR*: νουθεσιῶν *IV* || ἐκέκτητο *V*.
**σοε΄: 1** ἔτι *AIR*: τι *V* [*τὸ ἐλλπ. ἀρχκ. ἐρυθρογρ.* Ε *παρετοποθετήθη πρὸ τῆς λ.* σημείωμα *(στχ. 4)*] || ἠρραβωνιάσατο *AR* || **2** ἀπ' ἔστη *A* || **3** ὀκτὸ *V* || **4** σημ. κατ. τοῦ ἁγ. ἐκείνου κυρίου Νικ. πατρ. *Σύντ.* || **5** διαλαμβάνων *κώδδ.* || μετριώτητος *V* || **7** συνεδριαζόντων *V* || **9** *μτ.* ἐμνηστεύ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τῷ κληρικῷ μαθεῖν. Ἤκουσεν οὖν ἀπὸ τῆς ἡμῶν μετριότητος καὶ τῆς συνεδριαζούσης ἀδελφότητος, ὡς οὐκ ἐπὶ μόνου τοῦ γαμικοῦ συναλλάγματος ἀρραβῶνας νενόμισται δίδοσθαι, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν ἄλλων συναλλαγμάτων, πλὴν οὐκ ἠναγκασμένως ἀλλ' αὐθαιρέτως· ὥσπερ τοίνυν ἐπὶ τῶν ἄλλων συνα[224β R]λλαγμάτων οὐ λέγομεν ἄκυρον εἶναι τὸ γεγονὸς μὴ δοθέντων ἀρραβώνων, οὕτω καὶ ἐπὶ τοῦ γαμικοῦ συναλλάγματος, κἂν ἀρραβὼν ἤτοι μνηστεία ⟨οὐ⟩ προβῇ, βέβαιον ἔσται καὶ ἀδιάσπαστον. Τῆς γοῦν προβάσης μνηστείας, ὡς εἴρηται, μέσον τοῦ κληρικοῦ καὶ τῆς Μαρίας οὔσης ἀνυποστάτου, ἐσεῖται [230β A] ὁ κληρικὸς ἔχων ἀδιασείστως τὴν διὰ μόνης γαμικῆς ἱερολογίας ἁρμοσθεῖσαν αὐτῷ σύζυγον, ὡς διείληπται. Πρὸ γάμου δὲ δωρεά, δι' ἣν καὶ τὴν μνηστείαν νενομοθέτηται γίνεσθαι μέσον τῶν ὁμοζύγων ἢ τῶν μερῶν αὐτῶν, οὐ τρακταϊσθήσεται, ἀλλ', ὥσπερ εἰ μηδὲ προέβη μνηστεία, μηδὲ πρὸ γάμου παρηκολούθησε δωρεά, βέβαιος ὁ γάμος ἔστω καὶ ἀδιάρρηκτος».

**Κεφάλαιον σϛ΄. Περὶ μνηστείας καὶ ὅτι οὐδέν ἐστι γάμου τε καὶ μνηστείας διάφορον εἰς σύστασιν τοῦ θεμιτοῦ καὶ ἐρρωμένου**

Μηνὶ Ἀπριλίῳ κϛ΄, ἰνδικτιῶνος δ΄, ἔτους ,ϛφοδ΄, προκαθημένου Ἰωάννου τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς δεξιοῖς μέρεσι τῶν κατηχουμενείων, συνεδριαζόντων αὐτῷ τῶν θεοφιλεστάτων μητροπολιτῶν, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Ἀγκύρας, τοῦ

---

*(πβ. Δυοβουνιώτην σ. 69, θεωροῦντα τὸ χωρ. ἀνέκδ.)* || ⟨...⟨*συνοδ. ἀπφ. πτρχ. Νικολάου Γ΄ (πβ. Reg. Patr. ἀρ. 966).*

**σοϛ΄ 3** Μηνὶ - **52** ἐρρωμένου ⟨*συνοδ. ἀπφ. πτρχ. Ἰωάννου Η΄ Ξιφιλίνου (= Σύντ. 5, 51³/52³⁵·*

---

σατο *προσθ.* γυναῖκα *Σύντ.* (*ἔνθα* γυν. τινα Μαρίαν) || καλουμένου *Σύντ.* || οὖσα *IRV* || **12** γάμον *συνεπλρ. ἐκ τῆς ἐπκφλ. (ὡς Σύντ.)*: *παρλπ. κώδδ.* (πρὸς ἠγάγετο *AR*, προσηγάγετο *IV*) || **13** μετριότητος *παρλπ. AR* || **15** νενόμισται *AR*: νενόμισθαι *IV* || δίδοσθαι *δρθ. ἐκ Συντ.*: δίδοται *κώδδ.* || ἄλλων *παρλπ. Σύντ.* || **16** αὐθέρετως *V* || **19** οὐ *προσθ. ἐκ Συντ.*: *παρλπ. κώδδ.* || βέβαιον *(ὡς Σύντ.) δρθ.*: βεβαίως *κώδδ.* || **21** οὔσης *(ὡς Σύντ.) δρθ.*: οὖσαν *κώδδ.* || **22** αὐτῷ *δρθ. ἐκ Συντ.*: αὐτοῦ *κώδδ.* || συζυγὸν *AR* || ὡς σύζ. διειλῆπται *V* || **23** δωρεὰ *(ὡς Σύντ.) δρθ.*: -ὰν *κώδδ.* || **24** μέσων *V* || ἢ *V*: ἡ *AIR* || μερῶν *δρθ. ἐκ Συντ.*: ἡμερῶν *κώδδ.* || **25** εἰ *παρλπ. IV* || μηδὲ¹ *ἐγρ.*: μὴ δὲ *A*, μὴ *IRV* || μηδὲ² *ἐγρ.*: μὴ δὲ *κώδδ.* || **26** ἔσται *Σύντ.* || ἀδιάρηκτος *V*.
**σοϛ΄: 1** κεφάλαιον σοϛ΄ *παρλπ. AR* || περὶ μνηστείας καὶ *παρλπ. IV* || **2** θεμιτοῦ *AIR*: ἀθεμίτου *V* || **3** ἀρχιερατικὴ ἀπόφασις *ἐν τῇ ᾤᾳ κώδδ.* || ἀπριλλίῳ *κώδδ.* || *μτ.* κϛ΄ *προσθ.* ἡμέρᾳ δ΄ *Σύντ.* || ἰνδικτιῶνος *κώδδ.*: ἐπινεμήσεως *Σύντ.* || **4** παναγιωτάτου *κώδδ.*: ἁγιωτάτου ἡμῶν *Σύντ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Κυζίκου, τοῦ Χαλκηδόνος, τοῦ Σίδης, τοῦ Σεβαστείας, τοῦ Γάγγρας, τοῦ Φιλίππων, τοῦ Ἱεραπόλεως, τοῦ Κοτυαείου, τοῦ Μιτυλήνης, τοῦ Χωνῶν, τοῦ Νακωλείας· καὶ ἀρχιεπισκόπων, τοῦ Μαρωνείας, τοῦ Προικοννήσου, τοῦ Γαρέλλης, τοῦ Λήμνου, τοῦ Βοσπόρου, τοῦ Γοτθίας, ἐλθόντων ἐν ὑστέρῳ τοῦ Ἀμασείας, τοῦ Μελιτηνῆς, τοῦ Κλαυδιουπόλεως, τοῦ Ἰκονίου καὶ τοῦ Ὑδροῦντος. Εἰ καὶ μὴ προδήλως καὶ κατὰ τάξιν ⟨ἐν⟩ τῷ ἐκτεθέντι συνοδικῷ τόμῳ παρὰ τοῦ ἀοιδίμου πατριάρχου κυροῦ Σισιννίου ἐπὶ τῶν κεκωλυμένων καὶ ἀθεμίτων γάμων διείληπται καὶ περὶ τῆς μνηστείας, ἀλλ' ἐπεὶ καὶ τὴν τοῦ πατρὸς μνηστὴν καὶ τὴν τοῦ ἀδελφοῦ κωλύει παντάπασιν ὁ πολιτικὸς νόμος τῷ υἱῷ ἢ τῷ ἀδελφῷ ζεύγνυσθαι, διὰ τὸ τὴν μὲν μη[225α R]τρυιᾶς τάξιν ἐπέχειν, τὴν δὲ νύμφης, κἂν ὁ γάμος μὴ προβέβηκε, [231α A] τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῆς μνηστῆς τοῦ θετοῦ υἱοῦ, κἂν ἡ θέσις λυθῇ, μὴ δυναμένου τοῦ θετοῦ πατρὸς ταύτην λαβεῖν ὡς νύμφην καὶ τοῦ ἰδίου υἱοῦ γαμετήν, ἐκράτησε δὲ καὶ μέχρι τῆς δεῦρο τὸν μνηστευσάμενον κόρην καὶ ἢ θανάτῳ ταύτην ἀποβαλόντα ἢ διαζυγίῳ ἢ συναινέσει καὶ νομίμων προστίμων καταβολῇ, εἶτα ἑτέραν ἀγαγόμενον, μὴ δύνασθαι ἢ ἱερέα ἢ διάκονον ἢ ὑποδιάκονον χειροτονεῖσθαι, δίγαμον δηλαδὴ λογιζόμενον, ἔδοξε καὶ νῦν τῇ ἡμῶν μετριότητι καὶ πάσῃ τῇ ἐνδημούσῃ ἱερωτάτῃ συνόδῳ τὸ κρατεῖν ἐπὶ πάντων τῶν ἀθεμίτων ⟨καὶ⟩ κεκωλυμένων μὴ μόνον, εἰ γάμος [92β I] καὶ ἱερολογία φθάσει συμβῆναι, κωλύεσθαί τε καὶ ἀθέμιτον τὸ συνάλλαγμα ὀνομάζεσθαι, ἀλλά, κἂν μνηστεία κατὰ τὸν νόμον τετέλεσται, γάμος δὲ οὐκ ἀπήρτισται, ⟨θανάτῳ δὲ ἢ ἑτέρῳ τρόπῳ διαλέλυται,⟩ μὴ ἐξὸν εἶναι θάτερον τῶν προσώπων κατὰ συγγένειαν ἡνωμένῳ αὐτῷ προσώπῳ, ἐξ ἧς αἰτίας κώλυμα γίνεται γάμου ἢ κατ'

---

|| δεξοῖς *V* || **5** τῶν² *παρλπ. Σύντ.* || θεοφιλεστάτων *κώδδ.*: πανιερωτάτων *Σύντ.* || **7** τοῦ σίδης *παρλπ. Σύντ.* || **9** προικονήσου *κώδδ.* || **10** γαρέλλης *δρθ.*: -έλης *AR*, γαλέρης *IV* || θοτθίας *IV* || *μτ.* γοτθίας *προσθ.* τοῦ Ἡρακλέος *Σύντ.* || *μτ.* ἐλθόντων *προσθ.* καὶ *Σύντ.* || **11** ἀμασίας *AIR* || μελετινῆς *V* || **12** Ὑδροῦντος *δρθ.*: ἱ- *κώδδ.* || τάξιν *κώδδ.*: λέξιν *Σύντ.* || ἐν *προσθ. ἐκ Συντ.*: *παρλπ. κώδδ.* || **13** κυροῦ *κώδδ.*: κυρίου *Σύντ.* || σισιννίου *(ὡς Σύντ.) δρθ.*: -ινίου *κώδδ.* || **14** καὶ² *παρλπ. Σύντ.* || **17** ἐπέχειν *κώδδ.*: ἔχειν *Σύντ.* || **18** μὴ *δρθ. ἐκ Συντ.*: δὲ *κώδδ.* || **21** μεμνηστευμένον *V* || ἀποβαλόντα *δρθ.*: -λλόντα *κώδδ.* || διαζυγίῳ *δρθ. ἐκ Συντ.*: διαζυγίας *AIR*, διὰ συζυγίας *V* || **22** νομίμων *παρλπ. Σύντ.* || **23** ἢ¹ *παρλπ. Σύντ.* || ὑποδιδιάκονον *V* || **24** ἐνδημούσῃ *AIR*: ἐνδημοσία *(ὕπρθ. τοῦ μ δυσξ. γρμ. (?) [= υ ?])* *V* || **25** τὸ *κώδδ.*: τοῦ *Σύντ.* || ἀθεμήτων *AR* || καὶ *προσθ. ἐκ Συντ.*: *παρλπ. κώδδ.* || **26** φθάσει *δρθ.*: -σῃ *κώδδ.* || συμβῆναι *κώδδ.*: προβῆναι *Σύντ.* || **27** ἀθέμιτον *κώδδ.* : ἄθεσμον *Σύντ.* || **28** κατὰ *παρλπ. V* || θανάτῳ - **29** διαλέλυται *προσθ. ἐκ Συντ.*: *παρλπ. κώδδ.* [*πήδ. τοῦ γρφ. τοῦ x ἀπὸ λ. εἰς λ. διὰ τὸ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἄλλον τινὰ τρόπον τὸ ἀθέμιτον παρεισάγεται, συνάπτεσθαί τε κατὰ τὸν νόμιμον γάμον καὶ νόμοις ἐγνωσμένον ἢ θείοις κανόσι τὸ συνάλλαγμα ἢ τὴν συνοίκησιν κέκλησθαί τε καὶ ὅλως καθίστασθαι, τῆς νομίμου μνηστείας τοῦ γάμου τάξιν τε καὶ κατάστασιν ἐχούσης. Διὰ τοῦτο γὰρ καὶ προστίμων ἄνευ λύεσθαι ταύτην οὐκ ἔξεστιν· ἀλλ' ἐπὶ μὲν τῶν ἀθεμίτων νομικὸς διορίζεται κανών, ὡς, ἔνθα τὸ συνάλλαγμα νόμοις ἀπρόσδεκτον, ποινὴν ἀπαιτεῖσθαι οὐκ ἔξεστιν· ἐπὶ δὲ τῶν ἐρρωμένων καὶ νομίμων, ὥσπερ ἐν τοῖς γάμοις, αἱ ποιναὶ ἀντιδίδονται, εἰ μὲν ἐξ αἰτίας δηλονότι τῆς γυναικὸς τὸ διαζύγιον πέμπεται, τοῦ ἀνδρὸς κερδαίνοντος, εἰ δὲ παρ' αἰτίαν τοῦ ἀνδρός, τῆς γυναικὸς ἀποφερομένης τὸ κέρδος, οὕτω καὶ ἐν ταῖς μνηστείαις, [231β A] τῆς λύσεως μετὰ προστίμου συνισταμένης, πρόδηλον, ὡς ὁ μνηστείαν συστησάμενος [225β R] καὶ κατὰ νόμους διαλυσάμενος, εἶτα ἑτέραν ἀγαγόμενος, καὶ δίγαμός τε ἐστὶ καὶ οὕτω νῦν καὶ εἰς τὸ ἑξῆς ὀνομασθήσεταί τε καὶ ἔσται· τὸ δ' αὐτὸ πάντως καὶ ἐπὶ τῶν θηλειῶν, ἐπεὶ τὰ αὐτὰ ἐφ' ἑκατέρας φύσεως οἱ νόμοι κρατεῖν κἂν τοῖς γάμοις κἂν τοῖς ἑτέροις συναλλάγμασι θεσπίζουσι. Διαρρήδην τοίνυν ἀποφαινόμεθα, ὅσα καὶ οἷα πρόσωπα ἀπὸ τῶν πολιτικῶν νόμων ἢ ἀπὸ τῶν θείων κανόνων ἢ ἀπὸ τοῦ δηλωθέντος συνοδικοῦ τόμου ἢ ἀπὸ ἑτέρου τοῦ περὶ τριγαμίας συνοδικοῦ τε ἅμα διὰ ταῦτα καὶ βασιλικοῦ θεσπίσματος εἰς γάμου κοινωνίαν κεκώλυται, τὰ αὐτὰ καὶ ἐπὶ τῶν μνηστειῶν τὴν κώλυσιν ἐναργεστάτην ἔχειν, καὶ μηδὲν εἶναι γάμου τε καὶ μνηστείας διάφορον εἰς σύστασιν τοῦ θεμιτοῦ καὶ ἐρρωμένου.

*Ἑτέρα συνοδικὴ σημείωσις περὶ τοῦ αὐτοῦ κεφαλαίου*

Μηνὶ Μαρτίῳ ιθ', ἰνδικτιῶνος ε', ἔτους ͵ϛφοε', προκαθημένου Ἰωάννου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τῷ μικρῷ σεκρέ-

---

*πβ. Reg. Patr. ἀρ. 896)* || **54** Μηνὶ - **103** ἐξεφώνησαν ⟨*συνοδ. ἀπφ. πτρχ. Ἰωάννου Η' Ξιφι-*

---

*όμκτλ.*] || κατὰ συγγένειαν *κώδδ.*: τῷ κατὰ τὴν συγγ. *Σύντ.* || **31** ἀθέμητον *A* || τε κατὰ τὸν νόμιμον (νόμον *V*) γάμον καὶ *(ὡς Σύντ.) κώδδ.*: *ἀνεμέν.* τε κατὰ τὸ νόμιμον (ἢ τὸν νόμον) καὶ γάμον || **34** τε *παρλπ. Σύντ.* || καὶ[2] *παρλπ. V* || **35** λύεσθαι *δρθ. ἐκ Συντ.*: -σεσθαι *κώδδ.* || **36** ἔνθα *AIR*: ἐνταῦθα *V* || **37** ἐπὶ *AIR*: ἐπεὶ *V* || ἐρρωμένων *δρθ. ἐκ Συντ.*: ἱερωμένων *κώδδ.* || **38** ἐξ αἰτίας *AIR*: ἐξετίας *V* || **39** πέμπεται *AIR*: πέμποντος *V* || **40** παραιτίαν *AR* || **41** προστίμου *(ὡς Σύντ.) δρθ.*: τὴν πρόστιμον *κώδδ.* || **42** νόμους *(ὡς Σύντ.) δρθ.*: νόμοις *κώδδ.* || **43** καὶ[1] *παρλπ. Σύντ.* || τε *παρλπ. IV* || **45** κἀν *ἐγρ.*: κἂν *κώδδ.* || **46** κἀν *ἐγρ.*: κἂν *κώδδ.* || **49** τε *παρλπ. I* || διὰ ταῦτα *παρλπ. Σύντ.* || **54** ἰνδικτιῶνος *κώδδ.*: ἐπινεμήσεως *Σύντ.* || **57** καὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τῳ, συνεδριαζόντων αὐτῷ καί τινων ἀρχόντων συγκλητικῶν, πρὸς τούτοις δὲ καὶ θεοφιλεστάτων μητροπολιτῶν, τοῦ Καισαρείας, τοῦ Ἡρακλείας, τοῦ [75$^{β}$ V] Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Τυάνων, τοῦ Νεοκαισαρείας, τοῦ Ἀμορίου, τοῦ Κοτυαείου, τοῦ Ἀμάστριδος, τοῦ Κερατζηνῆς, τοῦ Νακωλείας, καὶ ἀρχιεπισκόπων, τοῦ Σηλυβρίας, τοῦ Ῥουσίου καὶ τοῦ Γοτθίας. Τῇ αὐτῇ ἡμέρᾳ, τῶν συγκλητικῶν ἁπάντων ὑποχωρησάντων, ἐλθόντος δὲ καὶ τοῦ θεοφιλεστάτου μητροπολίτου Πατρῶν καὶ συγκέλλου Νικήτα, προετέθη τὸ ἀμφιβαλλόμενον περὶ τῆς μνηστείας, εἴτε χρὴ ἐν τοῖς συναλλάγμασι τοῖς γαμικοῖς, ἔνθα συγγενείας ἐστὶ νόμος κώλυσιν ἐπάγων, ἀντὶ γάμου ταύτην λογίζεσθαι καὶ ἢ ἐπιτρέπεσθαι ⟨τὸ μετὰ τοῦτο μέλλον προβῆναι συνοικέσιον ἢ ἀποτρέπεσθαι⟩ ὡς ἄθεσμόν τε καὶ νόμοις ἐναντιούμενον καὶ θείοις κανόσι [232$^{α}$ A] προσκόπτον· καὶ ἠρωτήθησαν οἱ παρρησιάζοντες ἅπαντες θεοφιλέστατοι [226$^{α}$ R] ἀρχιερεῖς καὶ εἶπον κοινῇ γνώμῃ κατὰ τὸ ἀναμφίβολον κωλυτέον εἶναι τὸ συνάλλαγμα, ἔνθα μνηστείας προβάσης καὶ γάμου μὴ ἐπακολουθήσαντος πρός τι πρόσωπον, ἢ ἀπὸ συγγενείας ἢ ἀπὸ ἀγχιστείας προφανοῦς εἰργόμενον, μέλλει ἕτερον τελεσθῆναι συνάλλαγμα. Τοῦτο μὲν τοῦ ἐνενηκοστοῦ ὀγδόου κανόνος τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου οὕτω κατὰ ῥῆμα διαλαμβάνοντος· «Ὁ τὴν ἑτέρῳ μνηστευθεῖσαν, ἔτι τοῦ ἀνδρὸς ζῶντος, εἰς γάμον ἀγαγόμενος τῷ τῆς μοιχείας ὑποκείσθω ἐγκλήματι». Εἰ γὰρ μὴ ἐλογίζοντο οἱ θεῖοι πατέρες τὴν μνηστείαν εἰς τάξιν γάμου, ἀλλ' ἄλλο τι, πῶς ἂν μοιχείας ἐγκλήματι τὸν συναπτόμενον τῇ ἕτερον μνηστευσαμένῃ ὑπέβαλλον; Πρὸς

---

*λίνου (=Σύντ. 5, 53$^{3}$/54$^{25}$· πβ. Reg. Patr. ἀρ. 897)* || ⟨...⟨*Βασ. 28.5.2 §§ 6, 9, 28.5.3 § 4.*

---

*παρλπ. Σύντ.* || θεοφιλεστάτων *κώδδ.*: πανιερωτάτων *Σύντ.* || **58** νεοκαισσαρείας *IV* || **59** κερατζηνῆς *κώδδ.*: κελεσηνῆς *Σύντ.* [*πβ. αὐτόθι σ. 474 ἔνθα* Κελτζινὴ] || νακωλείας *κώδδ.*: Κολωνείας *Σύντ.* || **60** ῥουσίου *AR*: ῥοσίου *IV* || **62** συγκέλλου *(ὡς Σύντ.) ὀρθ.*: συγγέλου *κώδδ.* || προετέθη *ὀρθ. ἐκ Συντ.*: προσετέθη *κώδδ.* || **63** τὸ ἀμφ. περὶ τῆς μν. *κώδδ.*: τὸ τῆς μν. ἀμφ. *Σύντ.* || εἴτε *κώδδ.*: *ἀνεμέν.* εἴγε *(ὡς Σύντ.)* || τοῖς συν. τοῖς γαμ. *κώδδ.*: τοῖς γαμ. συν. *Σύντ.* || **65** ἢ *AIR*: εἰ *V* || τὸ μετὰ - **66** ἀποτρέπεσθαι *προσθ. ἐκ Συντ.*: *παρλπ. κώδδ.* [*πήδ. τοῦ γρφ. τοῦ y ἀπὸ λ. εἰς λ. διὰ τὸ ὁμκτλ.*] || **67** προσκόπτον *ὀρθ.*: -των *κώδδ.* || παῤῥησιάζοντες *κώδδ.*: παρουσιάζοντες *Σύντ.* || **68** θεοφιλέστατοι *κώδδ.*: πανιερώτατοι *Σύντ.* || **69** κωλυταῖον *AR* || **71** ἀγχιστείας *ὀρθ. ἐκ Συντ.*: μνηστείας *κώδδ.* || **72** ἐνενηκοστοῦ ὀγδόου *R*: ἐννεν- ὀγδόου *A*, ϟη' *IV* || **73** καὶ *παρλπ. Σύντ.* || ἕκτης *AR*: ϛ' *IV* || **74** ἀγαγόμενος *κώδδ.*: ἀγόμενος *Σύντ.* || **75** τῷ *AIR*: τὸ *V* || ὑποκείσθω *ὀρθ. ἐκ Συντ.*: ὑποκεῖσθαι *κώδδ.* || εἰ *ARV*: οἱ *I* || **76** εἰς τάξιν γάμου *κώδδ.*: εἰς γ. τ. *Σύντ.* || ἄλλο τι *ὀρθ. ἐκ Συντ.*: ἀλότι *AR*, ἁλῶτι *I*, ἀ- *V* || **77**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ὕπανδρον γὰρ προδήλως ἡ μοιχεία πλημμελεῖται, καὶ διάφορον οἱ κανόνες τὸν τῶν ἐπιτιμίων λόγον καὶ τρόπον ἐπί τε τῆς μοιχείας καὶ τῆς πορνείας τίθενται· τοῦτο δὲ καὶ τοῦ πολιτικοῦ νόμου ἐν τῷ πέμπτῳ τίτλῳ τοῦ εἰκοστοῦ ὀγδόου βιβλίου τῶν Βασιλικῶν οὕτω λέγοντος· «Τὴν τοῦ πατρός μου ἢ τοῦ ἀδελφοῦ μου μνηστὴν οὐ δύναμαι λαμβάνειν, κἂν γαμεταὶ αὐτῶν ⟨οὐ⟩ γεγόνασιν· ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει». Καὶ μετά τινα κεφάλαια· «Κἂν πολλὰς ἔσχεν ὁ πατήρ μου, οὐδεμίαν αὐτῶν λαμβάνω· οὔτε τὴν μητέρα τῆς ποτέ μου μνηστῆς· γέγονε γὰρ πενθερά». Δῆλον οὖν καὶ ἐπὶ τούτου, ὡς ἀντὶ γάμου οἱ νομοθέται τὴν μνηστείαν ἔθεντο καὶ ἄθεσμον τὸ συμβαῖνον ἡγήσαντο καὶ μὴ οἷόν τε συνάπτεσθαι ἐθέσπισαν· καὶ ταῦτα ἐπὶ ἀγχιστείας· μετὰ γὰρ τὸ ἀπαριθμήσασθαι τὰς ἐξ αἵματος κωλύσεις ἐπάγουσιν· «Εἰσὶ δὲ καὶ ἕτεροι οὐ διὰ θεσμὸν συγγενείας, διὰ δὲ τὴν ἀγχιστείαν μὴ προβαίνοντες». Καὶ ἐν τῷ καταλόγῳ τῶν τοιούτων κωλυμάτων συντάττονται καὶ τὰ εἰρημένα [232β A] κεφάλαια. Καὶ οἱ συμπαρόντες θεοφιλέστατοι ἀρχιερεῖς τῇ τοιαύτῃ κανονι[93α I]κῇ τε καὶ νομικῇ γνώμῃ ὡμογνωμόνησαν καὶ οὕτω φρονεῖν τε καὶ λέγειν ἀνωμολό[226β R]γησαν καὶ μηδέν τι ἐναντίον φρονεῖν ἢ πράττειν ὁμοφρόνως ἐξεῖπον· ἐπεὶ καὶ ἐν ταῖς ⟨εἰς⟩ ἱερωσύνην παραγγελίαις οὕτω ποιεῖν καὶ χειροθετεῖν ἔφασαν, ὡς, ὅτε τις μνηστευσάμενός τινα καὶ μὴ κατὰ γάμον συναφθεὶς ἀποσταίη ταύτης οἱῳδήποτε τρόπῳ, εἶτα ἑτέρῳ νομίμῳ γάμῳ συναφθῇ, οὔτε χειροτονίαν ἀρχιερέως δέχεται, οὔτε χειροτονούμενος, ἴσως ἐξ ἀγνοίας, ὠφέλειάν τινα ἔχει, ἀλλὰ τῆς ἱερωσύνης ὡς δίγαμος ἀλλοτριοῦται· ἐπεὶ καὶ τὴν ἑτέρῳ μνηστευθεῖσαν εἴ τις ἀγάγεται, εἰς ἱερωσύνης βαθμὸν ἐμπεπόδισται ἀναβαίνειν. Οὕτω καὶ γινώσκειν καὶ λέγειν ὁμοῦ πάντες κατέθεντο καὶ οὕτω πράττεσθαι ἐκ παντὸς χρεὼν ἐξεφώνησαν.

---

ὑπέβαλον *AR* || **78** διάφορον *κώδδ.*: ἀδιάφορον *Σύντ.* || **80** *πρὸ* τίθενται *προσθ.* οὐ *Σύντ.* || πέμπτῳ *AR*: ε´ *IV* || **81** εἰκοστοῦ ὀγδόου *AR*: κη´ *IV* || **83** οὐ *προσθ. ἐκ Συντ. κ. Βασ.*: *παραλ. κώδδ.* || ἐπέχη *IV* || **84** κεφάλαι *R* || οὐδὲ μίαν *IV* || **85** οὔτε *κώδδ.*: οὐδὲ *Σύντ. κ. Βασ.* || *μτ.* γὰρ *προσθ.* μου *Σύντ. (ἥτις λ. οὐ κεῖται ἐν Βασ.)* || πενθερᾶ *AR* || **86** οἱ νομοθέται τὴν μνηστείαν *κώδδ.*: τὴν μν. οἱ νομ. *Σύντ.* || **87** οἷον τε *AIR*: οἴονται *V* || **88** ἀπαριθμήσασθαι *κώδδ.*: ἀριθμή- *Σύντ.* || **89** εἰσὶ *AIR*: εἰ *V* || **90** διὰ δὲ τὴν ἀγχιστείαν *κώδδ.*: *ἀνεμέν.* διὰ δὲ ἀγχ. *(ὡς Σύντ. καὶ Βασ.)* || προβαίνοντες *(ὡς Σύντ. κ. Βασ.) διορθ.*: -τος *AR*, -τας *IV* || **91** κωλυμάτων *I*: καλυμάτων *AR*, κολημάτων *V* || **92** θεοφιλέστατοι *κώδδ.*: πανιερώτατοι *Σύντ.* || **93** ὡμογνωμόνησαν *διορθ.*: ὡμογνο- *AR*, ὁμο- *I*, *ἐφθαρμ. V* || **95** εἰς *προσθ. ἐκ Συντ.*: *παραλ. κώδδ.* || ἱεροσύνην *AR* || **96** ἔφασαν *(ὡς Σύντ.) διορθ.*: ἔφθασαν *κώδδ.* || **97** γάμον *διορθ. ἐκ Συντ.*: γνώμην *κώδδ.* || **98** ἀρχιερέως χειροτονίαν *Σύντ.* || **100** ἀγάγηται *Σύντ.* || **101** ἐμπε-

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



**Κεφάλαιον σοζ΄. Χρυσόβουλλον τοῦ μακαρίτου βασιλέως κυροῦ Νικηφόρου τοῦ Βοτανειάτου, ἐπικυροῦν τὰς συνοδικὰς ἀποφάσεις τὰς περὶ τῶν ἀθεμίτων γάμων καὶ τῆς μνηστείας γε⟨γε⟩νημένας ἐπὶ Ἰωάννου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου τοῦ Ξιφιλίνου, οὗ μετὰ θάνατον ἐπεβραβεύθη τῇ ἐκκλησίᾳ ὁ ὑποτεταγμένος χρυσόβουλλος ⟨λόγος⟩.**

Τὸ ταῖς μεγίσταις τῶν διοικήσεων ἀεὶ Θεὸν συνέρχεσθαι λόγος θεῖος καὶ σοφὸς ἐπεκράτυνε, καὶ οὕτω διεξάγεσθαι τὰ μείζονα τῶν πραττομένων οἴδαμεν ἅπαντες καὶ οὐκ ἀμφιβάλλομεν. Εἰ δὲ τῶν μεγίστων ἔργων τῶν ἐκ Θεοῦ καὶ ἡ τῶν ἀνθρώπων ζωὴ καὶ ἡ ἐκ τούτων παιδογόνησις καὶ εἰς τὸν βίον ἐπαύξησις οἰκονομίᾳ γίνεται τῇ ἐξ αὐτοῦ, πολλῷ μᾶλλον ἐκ τῆς τούτου κηδεμονίας καὶ προστάξεως γνωρίζεται ὁ γάμος, ὁ τοῖς νόμοις θεμιτὸς καὶ μὴ ἐκ Θεοῦ χωριζόμενος· ὥσπερ ἄραγε ἀλλότριός ἐστι καὶ ἐθνικὸς ὁ τῆς αὐτοῦ προστάξεως ἀλλοτριούμενός τε [233α A] καὶ διαιρούμενος. Εἰ γὰρ αὐτὸς ῥητῶς οὑτωσὶ διετράνωσέ τε καὶ ἐξεφώνησε, τοὺς ἐκ Θεοῦ συνηνωμένους παρὰ ἀνθρώπων μὴ χωρίζεσθαι, καθά φησιν ἡ εὐα[227α R]γγελικὴ καὶ θεία φωνή, τίς ἂν ἀπιστήσειε, μὴ κατὰ βούλησιν αὐτοῦ κωλύεσθαι τὰ ἀθέμιτα, προβαίνειν δὲ κατὰ τὴν ψῆφον ⟨αὐ⟩τοῦ τὰ κατὰ τοὺς θείους καὶ ἐκκλησιαστικοὺς κανόνας συναινούμενα καὶ μὴ κωλυόμενα; Ἤ, εἴ τις ἀπαυθαδιάσαιτο ⟨πρὸς τὰ⟩ ἐκ τῆς τῶν θείων νόμων καὶ συνοδικῶν οἰκονομίας καὶ κελεύσεως ἀρίστης οἰκονομούμενα, οὐκ ἄντικρύς ἐστιν ἀντίστασις Θεοῦ καὶ ἀπόστασις τὸ πραττόμενον; Ἀλλὰ μὴ οὕτω τις μανείη καὶ τῶν οἰκείων ἐκσταίη φρενῶν, ὡς ἐμπεσεῖν εἰς χεῖρας μείζονος καὶ ἀπαραιτήτου κριτοῦ ἐκ τῆς

---

**σοζ΄ 6** Τὸ ταῖς μεγίσταις - **61** κράτος ⟨*Νε. Νικηφόρου Γ΄ Βοτανειάτου ἔτ. 1080 (=Σύντ. 5,*

---

πόδισται *δρθ.*: -διται *κώδδ.*, ἐμποδίζεται *Σύντ.*

**σοζ΄: 1** χρυσόβουλον *R* || μακαριτοῦ *R* || **3** γεγενημένας *δρθ. ἐκ Συντ. κ. J.G-R.*: γεννημ- *AR*, γενομ- *IV* || **5** χρυσόβουλος *AR* || λόγος *προσθ. ἐκ Συντ. κ. J.G-R.*: *παρλπ. κώδδ.* || **6** δικήσεων *V* || θεὸν *(ὡς Σύντ. κ. J.G-R.* [*ἔνθα* Θεὸν ἀεὶ]) *AR*: θεῷ *I*, σὺν θεῷ *V* || **7** ἐπεκράτηνε *V* || *μτ.* οὕτω *προσθ.* οὐ *IV* || **9** *μτ.* ἀνθρώπων *προσθ.* ἐστὶ *Σύντ. κ. J.G-R.* || **10** οἰκονομίᾳ *(ὡς Σύντ.) ἐγρ.*: -μία *κώδδ. (κ. J.G-R.)* || **11** τούτου *δρθ. ἐκ Συντ. κ. J.G-R.*: τότε *κώδδ.* || κηδαιμονίας *V* || *μτ.* ὁ² *προσθ.* τε *V* || **13** ἐθνηκὸς *IV* || **14** ῥητὸς *AR* || διετράνωσέ τε *I (μτ. δρθ. ἐξ ἀρχκ.* ται), *V*: -σέται *AR* || **15** συνηνωμένους *I*: -νομένους *V*, συνηνώμενος *AR* || παρ᾽ ἀν(θρώπ)ου *V* || **18** αὐτοῦ *δρθ. ἐκ Συντ. κ. J.G-R.*: τοῦ *κώδδ.* || τὰ *δρθ. ἐκ J.G-R.*: τὴν *κώδδ., παρλπ. Σύντ.* || συναινούμενα καὶ μὴ *κώδδ.*: συνεν- τὰ μὴ *Σύντ.*, συνηνωμένα (συναινούμενα *διάφ. γρφ.)* καὶ μὴ *J.G-R.* || **19** ἢ εἴ *AIR*: εἴ εἴ *V* || ἀπαυθαδιάσαι τὸ *I*, (-σαι, τὸ) *V* || πρὸς τὰ *προσθ. ἐκ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἀντινομίας τοῦ καλοῦ καὶ πρὸς τὸ χεῖρον μεταφορᾶς. Εἰ γοῦν ἅπαντας ὁ θεῖος νόμος καὶ συνοδικὸς καταναγκάζει καὶ μὴ βουλομένους μεταφέρεσθαι πρὸς τὰ κρείττονα, ὡς ἂν μὴ τῆς συνόδου τῆς θείας ψήφου ἐξοστρακίζοιντο, πολλῷ γε μᾶλλον ἄξιόν ἐστι μετὰ καὶ τῆς ψηφοφορίας τῆς συνοδικῆς καὶ ἀρχιερατικῆς καὶ τὸν κρατοῦντα ἐπιψηφίζεσθαι, καὶ ὥσπερ δὴ συμπράσσειν καὶ συνεδριάζειν τοῖς καλῶς παρὰ τῶν ἱερωτάτων καὶ θείων ἀρχιερέων καὶ αὐτοῦ τοῦ πανιέρου πατριάρχου ψηφισθεῖσί τε καὶ οἰκονομηθεῖσι. Καὶ γάρ, ἐπεὶ διὰ κρίσεως συνοδικῆς τοῦ μακαρίτου πατριάρχου κυροῦ Ἰωάννου τοῦ Ξιφιλίνου, γεγενημένης κατὰ τὸν Ἀπρίλιον μῆνα τῆς παρελθούσης τετάρτης ἰνδικτιῶνος, ἔτι τε καὶ τῶν τότε ἐνδημούντων κατὰ τὴν βασιλεύουσαν ἱερωτάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων, ἀνέμαθεν ἡ βασιλεία μου, ὅτι συνοδικῶς ἐκρίθη τὰ περὶ [233β A] τῶν ἀθεμίτων γάμων, πῶς τε ὀφείλουσιν οἱ κεκωλυμένοι κατὰ τοὺς θείους νόμους ἀναχαιτίζεσθαι καὶ πῶς προβαίνειν οἱ κατὰ νόμους γινόμενοι καὶ μὴ [76α V] συνοδικῶς κωλυόμενοι, καὶ ὑπεμνήσθη τούτου ἕνεκεν ἡ βασιλεία μου, ὥστε ἐπικυρωθῆναι παρ' αὐτῆς τὴν τοιαύτην κρίσιν, ὡς ἂν μὴ παρά τινος κατὰ φόβον τυχὸν ἢ δόλον ἢ τρόπον ἄλλον [227β R] οὐκ ἐπαινετὸν ἀνατρέποιτο, καὶ ἦν τὸ πρᾶγμα θεῖον καὶ εὐσεβές, ἐπήκουσε τῆς τῶν αἰτουμένων αἰτήσεως καὶ ἐπεκράτυνε βασιλικῶς τὰ τῷ Θεῷ ἀρέσκοντα καὶ κατὰ τοῦτο καὶ τῇ θείᾳ καὶ ἁγίᾳ συνόδῳ συνδόξαντα, ὡς ἂν τὰ πάλαι πεπραγμένα καλῶς ἐκ καινῆς κακῶς μὴ ἀναμοχλεύσοιντο καὶ ὡς εὐκίνητα μετακινοῖντο καί, ὡς εἰπεῖν, ἀνίερα γί-

---

*277⁸/79¹¹ = J.G-R.: ZvL. 338/40, Ζέπ. 289/90· πβ. Dölger ἀρ. 1048).*

---

*Συντ. κ. J.G-R.: παραλπ. κώδδ.* || **23** μείζωνος *AR* || ἀπαραιτίτου *AR* || **25** καὶ¹ *παραλπ. V* || συνοδικὸς *(ὡς Σύντ.) δρθ.*: -κῶς *κώδδ.* || μετὰ φέρεσθαι *R* || **26** ψήφου *(ὡς Σύντ. κ. J.G-R.) κώδδ.: ἀνεμέν.* ψήφῳ || ἐξωστρακίζοιντο *V* || **27** καὶ *παραλπ. Σύντ. κ. J.G-R.* || ψηφοφορίας *δρθ.*: ψηφιφορίας *κώδδ.* || **29** συμπράττειν *Σύντ. κ. J.G-R.* || καλῶς *δρθ. ἐκ Συντ. κ. J.G-R.*: καλλοῖς *A*, καλοῖς *IRV* || παρὰ *δρθ. ἐκ Συντ. κ. J.G-R.*: μετὰ *κώδδ.* || **30** θείων *κώδδ.*: θειοτάτων *Σύντ. κ. J.G-R.* || **31** *μτ.* οἰκονομηθεῖσι *προσθ.* καλῶς *Σύντ. κ. J.G-R.* || ἐπεὶ *AR*: ἐπὶ *IV* || διὰ κρίσεως *(ὡς Σύντ.) δρθ.*: διακρίσεως *(ὡς J.G-R. [διάφ. γρφ.* διὰ κρίσεως]) *κώδδ.* || **32** κυρίου *Σύντ. κ. J.G-R.* || **33** ἀπρίλιον *δρθ.*: ἀπρίλλον *A*, ἀπρίλλ (λλ *ὑπργεγρ.*) *I*, ἀπρίλλιον *RV* || τετάρτης *AR*: δ' *IV* || **35** περὶ *δρθ. ἐκ Συντ. κ. J.G-R.*: παρὰ *κώδδ.* || **37** *μτ.* θείους *προσθ.* κανόνας καὶ *Σύντ. κ. J.G-R.* || **38** γινόμενοι *δρθ. ἐκ Συντ. κ. J.G-R.*: γενόμενοι *κώδδ.* || **39** αὐτῆς *δρθ. ἐκ Συντ. κ. J.G-R.*: αὐτοῖς *κώδδ.* || **42** τοῖς *AR* || **43** τὰ *παραλπ. IV* || **44** κενῆς *IRV* || κακῶς *δρθ. ἐκ Συντ. κ. J.G-R.*: καλῶς *κώδδ.* || ἀναμοχλεύοιντο *Σύντ. κ. J.G-R.* || **45** ὡς εὐκίνητα *IV*: ὡς εὐκοίνοιτα *AR*, ἀκίνητα *(διάφ. γρφ.* ὡς εὐκίνητα) *Σύντ. κ. J.G-R.* || μετα-

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



νοιντο. Διορίζεται γὰρ ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου, τὴν γενομένην πατριαρχικὴν καὶ συνοδικὴν κρίσιν βεβαίαν εἶναι καὶ μὴ παρά τινος ἄχρι καὶ ψιλοῦ ⟨τοῦ λόγου⟩ τολμᾶσθαι ⟨ἀνακρίνεσθαί τε καὶ ἀνατρέπεσθαι⟩· αὐτόχρημα γὰρ ὁ ἀντιπίπτων ταύτῃ τῇ θείᾳ συνοδικῇ κρίσει τῆς ἡμετέρας πίστεως προσανατρέπει τοὺς οἴακας καὶ ἀναθέματι καθυποβέβληται καὶ ἀποκήρυκτος παρὰ τῆς μεγάλης Ἐκκλησίας ἀποκαθίσταται, καὶ ἀντιπράττων τοῖς κανόσι καὶ ἀνατρέπων τούτους καὶ διασαλεύων ἀπάνθρωπός τε καὶ παρανομώτατος. Καὶ γάρ, [93β I] ἐπισφραγίζουσα ἡ βασιλεία μου τὰ κεκριμένα καλῶς καὶ οἰκονομηθέντα συνοδικῶς, καὶ τὸ παρὸν ἐξέθετο χρυσοβούλλιον εἰς ἐπικύρωσίν τε καὶ στερεότητα, ὑποσημηναμένη ἐν αὐτῷ δι' ἐρυθρῶν γραμμάτων καὶ διὰ τούτων τὴν ἀλήθειαν φανοτέραν ὑπαγορεύουσα, κορώνην ὥσπερ δή τινα χρυσῆν τὴν ἀληθῶς σφραγῖδα τούτῳ ἀπαιωρήσασα, καὶ ἐν ἔτει ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ὀγδοηκοστῷ ὀγδόῳ τῆς τρίτης ἰνδικτιῶνος τοῦ Ἰανουαρίου μηνός, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς ⟨καὶ⟩ θεοπρόβλητον [234α A] ὑπεσημήνατο κράτος.

**Κεφάλαιον σοη΄. Εἰ φθείρῃ τινὰς τὴν ἰδίαν μνηστὴν πρὶν τῆς ἡλικίας**

Ὁ τὴν ἰδίαν μνηστὴν πρὸ τῆς ἥβης, ἤτοι τοῦ ιγ΄ χρόνου, φθείρας, εἰ μὲν οἱ τῆς κόρης γονεῖς οὐ βούλονται τὴν τοιαύτην διαλῦσαι μνηστείαν,

---

**σοη΄ 2** Ὁ τὴν ἰδίαν - **6** κόρης ⟨*Βλάστ. Μ 13: 374*[4-9] || ⟨...⟨*Ἐκλ. 17.29, 31 — Πρόχ. Νόμ. 39.*

---

κινοῖντο *δρθ. ἐκ Συντ.*: -κίνοιντο *IV*, -κοίνοιντο *AR* || γένοιντο *V* || **47** τὴν *παρλπ. IV* || π(ατ)ρι ἀρχικ(ὴν) *V* || **48** ψηλοῦ *V* || τοῦ λόγου *προσθ. ἐκ Συντ. κ. J.G-R.*: *παρλπ. κώδδ.* || ἀνακρίνεσθαί - **49** ἀνατρέπεσθαι *προσθ. ἐκ Συντ. κ. J.G-R.*: *παρλπ. κώδδ.* [*πήδ. τοῦ γρφ. τοῦ x ἀπὸ λ. εἰς λ. διὰ τὸ ὁμκτλ.*] || αὐτὸ χρῆμα *AR* || *μτ.* θείᾳ *προσθ.* καὶ *Σύντ. κ. J.G-R.* || **50** προσανατρέπει *δρθ. ἐκ Συντ. κ. J.G-R.*: πρὸς ἀνατρέπει *A*, -πειν *RV*, προςανατρέπειν *I* || **53** διασαλέβων *A* || ἀπανθρώπως *IV* || παρανομότατος *V* || **54** κεκριμμένα *I*, -κρυμμένα *AR* || οἰκονομηθέντα *(ὡς Σύντ. κ. J.G-R.) δρθ.*: οἰκοδομηθέντα *κώδδ.* || **55** χρυσόβουλλον *Σύντ. κ. J.G-R.* || **56** στερεότητα *δρθ.*: στερεώτητα *κώδδ.* || ὑποσημηναμένη *(ὡς Σύντ. κ. J.G-R.) δρθ.*: -μηνωμένη *AR*, -μαινωμένη *I*, -μαινομένη *V* || **57** φανοτέραν *(ὡς Σύντ. ἔνθα* -νωτέραν*) δρθ.*: -νώτερον *AR*, -νερώτερον *IV*, -νερωτέραν *J.G-R.* || ὑπαγορευοῦσα *V* || κορώνην *δρθ.*: -νὴν *AIR*, *Σύντ. κ. J.G-R.*, κωρώνην *V* || **58** ἀπαιωρήσατο *IV* || καὶ *παρλπ. Σύντ. κ. J.G-R.* || ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ὀγδοηκοστῷ ὀγδόῳ *AR*: ,ςφπη΄ *IV*, τῷ ,ςφπη΄ *Σύντ. κ. J.G-R.* || **59** *πρὸ* τρίτης *προσθ.* παρούσης *Σύντ. κ. J.G-R.* || τρίτης *AR*: γ΄ *IV* || **60** ἰανουαρίου *ἐγρ.*: ἰανvουαρίου *κώδδ.* || καὶ *προσθ. ἐκ Συντ. κ. J.G-R.*: *παρλπ. κώδδ.*

**σοη΄: 2** ματθαίου *ἐν τῇ ᾤᾳ κώδδ.* || **3** τοιαύτη *I.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἀναμενέτω τοῦ γάμου τὸν χρόνον· εἰ δὲ διὰ τὴν φθορὰν διαλῦσαι βούλονται, ἀπαρεμποδίστως ἡ τοιαύτη λυέσθω μνηστεία, καὶ ὁ φθορεὺς τῆς ἰδίας αὐτοῦ ὑποστάσεως τὸ τρίτον μέρος τῷ μέρει διδότω τῆς κόρης.

[228α R] **Κεφάλαιον σοθ΄. Περὶ συμβολαίων προικός, θαυμαστόν, καὶ περὶ μνηστείας**

Δηλοῖ βιβλίον πέμπτον τοῦ κώδικος, διάταξις τρίτη, τίτλος ιζ΄, καὶ τὸ ταύτης σχόλιον τὸ ἔξωθεν λέγει· Σημείωσαι θαυμαστὸν νόμιμον, ὅτι ὁ γαμβρὸς γράψας ἐν τῷ γαμηλίῳ συμφώνῳ πλείονα τῶν δοθέντων εἰς προῖκα παρὰ τὴν θέλησιν τοῦ προικίζοντος, ἀπαιτεῖ καὶ ταῦτα. Τοῦ δὲ σεβαστοῦ ἐκείνου καὶ μεγάλου δρουγγαρίου κυροῦ Στεφάνου τοῦ Κομνηνοῦ μέλλοντος συζευχθῆναι τῇ κυρᾷ Εὐδοκίᾳ, τῇ θυγατρὶ τοῦ σεβαστοῦ ἐκείνου καὶ μεγάλου δομεστίκου κυροῦ Ἰωάννου, καὶ κωλυομένου διὰ τὸ τὴν ἀδελφὴν ταύτης κυρὰν Εἰρήνην μνηστευθῆναι τῷ σεβαστῷ ἐκείνῳ κυρῷ Ἀλεξίῳ, τῷ υἱῷ τοῦ πρωτοσεβαστοῦ ἐκείνου κυροῦ Ἰωάννου τοῦ ἀοιδίμου σεβαστοκράτορος, τῷ ὄντι πρώτῳ ἐξαδέλφῳ τοῦ μεγάλου δρουγγαρίου, καὶ ἀδύνατον εἶναι δύο πρώτους ἐξαδέλφους δυσὶν ἀδελφαῖς συνάπτεσθαι, ἐλαλήθη συνοδικῶς ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Νικολάου τοῦ Μουζάλωνος, εἰ ἐκ τούτου ἐμποδίζεται τὸ τοῦ μεγάλου δρουγγαρίου συνάλλαγμα, καὶ διεγνώσθη μὴ ἐμποδίζεσθαι διὰ τὸ τὴν μνηστείαν τόπον τελείου γάμου μὴ ἐπέχειν. Καὶ ὁ ἁγιώτατος δὲ πατριάρχης κύρις Θεοδόσιος ἐξεχώρησε τῷ Μεσοποταμίτῃ κυρῷ Μιχαὴλ μνηστευσαμένῳ Μαρίαν τινά, τυχὸν καὶ διὰ τὸ τελευτῆσαι ταύτην πρὸ τοῦ

---

*65-67 — Βασ. 60.37.79-81 — Σύν. Φ 3.6-8 — Ἐπιτ. 45.99-100 — Ἀρμ. 6.3.5, 6, 9· πβ. Βλάστ. Γ 30: 202* || *⟩Μαλξ. (Θέμ.) ρμδ΄ 3· πβ. Νομκ. Α΄ 7, Φωτειν. Α΄ 21.6.*

**σοθ΄ 3** Δηλοῖ - **6** ταῦτα ⟨ ? || ⟨...⟨*Βασ. 29.1.84 = C. 5.11.4 (οὐχὶ C. 5.17.3)· πβ. Σύν. Π 29.13 —Ἀρμ. 4.10.12* || *πβ. Νομκ. Δ΄ 24* || **6** Τοῦ δὲ - **23** γάμου ⟨*σχλ. Βαλσ. εἰς καν. 69 Βασιλείου*

---

**σοθ΄ : 3** πέμπτον *AR*: ε΄ *IV* || τρίτη *AR*: γ΄ *IV* || ιζ΄ *AR*: ζ΄ *IV* || **4** *μτ.* ἔξωθεν *προσθ.* καὶ *V* || **5** γαμβρὸς γράψας *δρθ. ἐκ κεφ. τλβ΄*: γραφεὺς γράφει *κώδδ.* || **6** *πρὸ* θέλησιν *ὠβλ.* αὐτοῦ *(ὡς κεφ. τλβ΄) ὅπερ προσθ. κώδδ.* || *μτ.* προικίζοντος *(κ. ἔντθ. κ. κατωτ. ἐν κεφ. τλβ΄) χσμ. ὡρσμ., πρὸς πλρσ. τοῦ ὁποίου δοκμστ. προτν.* οὐδὲν αὐτῷ πρόκριμα ποιεῖ· ἐὰν δὲ βουλομένου τοῦ προικίζοντος, [*πήδ. ἀπὸ ὁμ. εἰς ὁμ. (τοῦ x? ἢ αὐτοῦ τοῦ Μαλαξοῦ?)· πβ. Βασ. κ. Νομκ.*]: *οὐδὲν χσμ. κώδδ. ἐντθ. κ. κατωτ. ἐν κεφ. τλβ΄* || ἀπαιτεῖ *κώδδ. ἐντθ. κ. AR ἐν κεφ. τλβ΄*: -τεῖται *IV ἐν κεφ. τλβ΄* || **8** κυρᾷ *κώδδ.*: κυρίᾳ *Σύντ.* || **10** ἀδελφὴν *κώδδ.*: αὐταδέλφην *Σύντ.* || κυρὰν *κώδδ.*: κυρίαν *Σύντ.* || **12** ἀοιδήμου *V* || **17** τόπον γάμου τελείου *IV* || ἐπέχει *IV* || **18**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



γάμου ἑτέραν λαβόντι, ἀπροκριματίστως μετὰ τὸν ταύτης θάνατον ἑτέρᾳ συναφθῆναι, [234β A] ἔχοντι καὶ ταῦτα παῖδας καὶ τὸν τριακοστὸν ὑπεραναβάντι χρόνον, εἰπὼν μὴ λογίζεσθαι τοῦτο τριγαμίαν, ὡς τῆς μνηστείας μὴ ἀρκουμένης ἀντὶ τελείου γάμου.

**Κεφάλαιον σπ΄. Περὶ μνηστείας, εἰ λαμβάνω τῆς μνηστῆς μου τὴν ἀδελφὴν ἀποθανούσης αὐτῆς**

Τῆς μνηστῆς μου ἀποθανούσης λαβεῖν τὴν ἀδελφὴν αὐτῆς εἰς γυναῖκα οὐ δύναμαι, εἰ μόνον ἑπταέτης ἦν ἐκείνη καὶ ἐπέκεινα, ὁπότε καὶ κατὰ συναίνεσιν ἡ μέσον ἡμῶν προέβη μνηστεία. Εἰ δὲ ἐλάττων οὖσα ἐ[228β R]τύγχανε τῶν ἑπτὰ ἐτῶν, ἐν τῇ τοιαύτῃ γὰρ ἡλικίᾳ οὐδὲ διὰ μόνης συναινέσεως μνηστεία ὅλως συνισταμένη ἐπιγινώσκεται, ἀμέμπτως καὶ ἀκατηγορήτως αὐτῇ συζευχθήσομαι. Ἀλλ᾽ οὐδὲ τὴν τοῦ ἀδελφοῦ μου μνηστὴν ἢ τὴν αὐταδέλφην αὐτῆς εἰς γυναῖκα λαβεῖν δύναμαι· καὶ ἁπλῶς εἰπεῖν, ὅσα ἐπὶ τῶν γάμων, τοσαῦτα καὶ ἐπὶ τῆς μνηστείας ὁ συνοδικὸς ἐθέσπισε τόμος τοῦ πατριάρχου Σισιννίου καὶ τοῦ Ξιφιλίνου.

**Κεφάλαιον σπα΄. Περὶ μνηστείας κληρικῶν τῶν θελόντων ἱερωθῆναι**

Ἀμέλει καὶ οὐκ ἐφεῖταί τινι τῶν τοῦ βήματος, θανάτῳ ἢ ἄλλῃ αἰτίᾳ τῆς οἰκείας διαζευχθέντι μνηστῆς πρὸ τοῦ γάμου, ἑτέρᾳ συνάπτεσθαι γυναικί· ὁ γὰρ πεποιηκέναι τοῦτο φωραθείς, ὡς δευτερογαμήσας καθαιρεῖται· καὶ ὁ ἐμπεσὼν εἴς τι τοιοῦτον ἀναγνώστης εἰς ἕτερον οὐ προκόπτει βαθμόν. Εἰ δὲ ἀσύστατός ἐστιν ἡ μνηστεία, εἰ μὲν τὸ κατεγγυηθὲν πρόσωπον τῷ

---

*(=Σύντ. 4, 226^35/27^19)* || ⟨...⟨*συνοδ. ἀπφ. πτρχ. Νικολάου Δ΄ (πβ. Reg. Patr. ἀρ. 1029).*
**σπ΄ 3** Τῆς μνηστῆς - **11** Ξιφιλίνου ⟨*Ἀρμ. 4.7.13 (πβ. Reg. Patr. ἀρ. 812).*
**σπα΄ 2** Ἀμέλει - **19** λογίζεσθαι ⟨*Βλάστ. Γ 15: 182^4-24* || ⟨...⟨*ἀπκρ. Βαλσ. (=Σύντ. 4, 453)* ||⟩

---

κύρις *κώδδ.*: κύριος *Σύντ.* || κυρῷ *κώδδ.*: κυρίῳ *Σύντ.* || **20** λαβόντι *(ὡς Σύντ.) δρθ.*: -τα *κώδδ* || ἀπροκριματίστως *(ὡς Σύντ.) δρθ.*: ἀπο- *κώδδ.* || **21** ἔχοντα *V* || ὑπεραναβάντι *ἐγρ.*: ὑπὲρ ἀναβάντι *κώδδ.* || **23** ἀρκουμένης *κώδδ.*: *ἀνεμέν.* ἀρκούσης *(ὡς Σύντ.).*
**σπ΄ : 3** νεαραὶ πατριαρχικαὶ (πατριάρχου *V*) σισινίου καὶ ξιφιλίνου *ἐν τῇ ᾤᾳ κώδδ.* || τῆς μνηστῆς - **4** δύναμαι *κώδδ.*: οὐδὲ τὴν ἀδ. τῆς μν. μου ἀποθ. λαβ. εἰς γυν. δύναμαι *Ἀρμ.* || ἑπταέτης *AR*: -τῆς *I*, -τὴς *V* || **5** ἡ *AR*: εἰ *(μτ. δρθ. ἐξ ἀρχκ.* ἡ) *I*, εἴ *V* || **6** συναινέσεως *AIR*: συνέσεως *V* || **9** αὐτῆς *κώδδ.*: ἐκείνης *Ἀρμ.* || **10** συνοδικῶς *RV* || **11** τόμος *κώδδ.* (*μτ. δρθ. ἐξ ἀρχκ.* νόμος *R*) || σισιννίου *δρθ.*: σισινίου *(ὡς Ἀρμ.) κώδδ.* || τοῦ² *παρλπ. Ἀρμ.*
**σπα΄ : 2** ματθαίου *ἐν τῇ ᾤᾳ κώδδ.* || **3** διαζευχθῆναι *IV* || **5** εἰς² *AIR*: εἰ *V* || **6** κατεγγυηθὲν *(ὡς*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



θέλοντι ἱερωθῆναι τὸν ἕκτον ὑπερέβη χρόνον, οὐ παραχωρηθήσεται ὁ μνηστευσάμενος ἑτέρᾳ συναφθῆναι γυναικὶ καὶ οὕτως ἱερωθῆναι· δίγαμος γὰρ λογίζεται διὰ τὴν ἐπιθυμίαν, τῷ δεκτικὴν ἔρωτος εἶναι τηνικαῦτα τὴν γυναῖκα. Εἰ δὲ ἧττον τῶν ἓξ χρόνων ⟨ἦν⟩ τὸ κατεγγυηθὲν αὐτῷ πρόσωπον, ὅτε ἡ ἀθέτησις τῶν συμφώνων ἐγένετο, δύναται ὁ τοιοῦτος, καὶ ἑτέρᾳ γυναικὶ συζευχθείς, ἀκωλύτως εἰς ἱερωσύνην ἐλθεῖν· τοῦτο [235α A] δὲ ἐπὶ λαϊκῶν οὐ κρατεῖ· μόνους γὰρ τοὺς τοῦ βήματος μιᾶς γυναικὸς καὶ ταύτης παρθένου ἄνδρας εἶναι δεῖ, οἷα καὶ αὐτοὺς [76β V] πάντως τῇ παρθενίᾳ πρὸ τούτου ⟨σεμνυνομένους. Τελείας δὲ τῆς μνηστείας οὔσης καὶ εἰ πρὸ τοῦ⟩ συμμιγῆναι τῇ μεμνηστευμένῃ τὸν ἄνδρα θανάτῳ ταύτης διέζευκται, οὐδὲ ὁ λαϊκὸς λαβεῖν δύναται ἢ ἐξαδέλφην ταύτης ἢ ἕτερον πρόσωπον ἐκ τοῦ νόμου κεκωλυμένον· οὐ γὰρ ἡ συνάφεια, ἀλλ' ἡ τῆς εὐχῆς τελετὴ ποιεῖ τὴν μνηστείαν ὡς γάμον λογίζεσθαι. Κόρη τις τεσσάρων ἢ πέντε ἐτῶν κατηγγυήθη ἀνδρί, ὃς καὶ μὴ ἀναμείνας τὸν ἔνηβον [94α I] αὐτῆς χρόνον ἑτέρᾳ συνεζύγη· ἡ δὲ κόρη τὴν [229α R] ἔννομον φθάσασα ἡλικίαν ἀνδρὶ συνήφθη ἑτέρῳ, ὃς καὶ ἱερωθῆναι ζητήσας ἐπετράπη παρὰ τῆς συνόδου, μηδ' ὁπωσοῦν ἐμποδισάσης τῆς ἐν παντελεῖ ἀνηβότητι κατεγγυήσεως τῆς κόρης, ὡς εἴρηται.

*Ἐρώτησις τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κυροῦ Μάρκου*

Ἀπροκριματίστως διακονικοῦ ἢ ἱερατικοῦ βαθμοῦ ἀξιωθείη ὁ διὰ τὸ τελευτῆσαι τὴν μνηστευθεῖσαν αὐτῷ ἑτέραν σύμβιον ἀγαγόμενος, ἢ ὡς δίγαμος κωλυθήσεται; Ἀπόκρισις. Εἰ μέν, κατὰ ⟨τὴν⟩ τῆς ῥηθείσης νεαρᾶς ὑποτύπωσιν, ἠρραβωνίσατο τὴν ἀποιχομένην μνηστήν, ἑτέρᾳ γυναικὶ μετὰ

---

*Μαλξ. (Θέμ.) ρμβ' 1-2, (Ρουμ.) ρμη'· πβ. Νομκ. Α' 3* || **19** Κόρη - **24** εἴρηται ⟨ ? || ⟩ *Μαλξ. (Θέμ.) ρμβ' 3-4* || **26** Ἀπροκριματίστως - **33** δίγαμος ⟨*ἐρτ. πτρχ. Ἀλεξανδρ. Μάρκου κ. ἀπκρ.*

---

*Σύντ.) δρθ.*: καταγγυηθὲν *κώδδ.* || **7** ἕκτον *AR*: ς' *IV* || **8** δίγαμος *AR*: γάμος *IV* || **9** δεκτηκὴν *I* || **10** εἰ *AIR*: ὁ *V* || ἧττον *AIR*: ἥττων *V*, ἥττων *Σύντ.* || ἓξ *AIR*: ς' *IV* || ἦν *προσθ. ἐκ Συντ.*: *παρλπ. κώδδ.* || **11** ὅτε *AR*: ὅτι *I*, *δυσαναγν.* *V* || **13** *μτ.* ἐπὶ *προσθ.* τῶν *V* || **15** σεμνυνομένους-**16** πρὸ τοῦ *προσθ. ἐκ Συντ.*: *παρλπ. κώδδ.* [*πήδ. τοῦ γρφ. τοῦ x ἀπὸ λ. εἰς λ. διὰ τὸ ὁμκτλ.*] || μνηστευσαμένῃ *Σύντ.* || **17** οὐδὲ *ἐγρ.*: οὐ δὲ *κώδδ.* || **18** συνάφεια *δρθ. ἐκ Συντ.*: συνήθεια *κώδδ.* || **19** λέοντος καὶ κωνσταντίνου τῶν βασιλέων *ἐν τῇ ᾤᾳ κώδδ.* || **20** κατεγγυήθη *IV* || **21** ἡ *AIR*: εἰ *V* || **23** μηδ' ὁπωσοῦν *ἐγρ.*: μηδ' ὁποσοῦν *AR*, μηδοποσοῦν *I*, μή- *V* || **26** ἀπροκριματίστως (*ὡς Σύντ.*) *δρθ.*: ἀπο- *κώδδ.* || **28** κωλυθήσεται *AIR*: λογισθήσεται *V* || ἀπόκρισις *ἐν τῷ κειμ.*, βαλσαμὼν *ἐν τῇ ᾤᾳ A*: ἀπ. βαλσ. *ἐν τῷ κειμ. IR*, ἀπ. βαλσαμῶνος *ἐν τῇ ᾤᾳ V* || εἰ *IV*: οἱ *AR* || τὴν *προσθ. ἐκ Συντ.*: *παρλπ. κώδδ.* || **29** *ὕπρθ.* ἀποιχομένην *προσθ. διὰ μτγν. χ.* παρερχο-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τὸν αὐτῆς θάνατον συζευχθείς, οὐκ ἀξιωθείη βαθμοῦ τινος τῶν τοῦ βήματος· δίγαμος γὰρ λογίζεται. Εἰ δὲ παρὰ τὴν ταύτης περίληψιν τὸ τελευτῆσαν ἐμνηστεύσατο γύναιον, ἀπαρεμποδίστως ἱερωθήσεται, ὡς μὴ λογιζόμενος δίγαμος.

**Κεφάλαιον σπβʹ. Περὶ λύσεως μνηστείας καὶ περὶ μανίας**

Λύεται δὲ ἡ μνηστεία, ὥσπερ οἱ γάμοι, δι᾽ εὐπροσώπους ταύτας αἰτίας.

Εἰ ἀνυπόστατός ἐστιν ἡ μνηστεία καὶ ἀθέμιτος διὰ τὸ ἀνήλικον τῶν παίδων.

Εἰ ἐγγάστριος ἐξ ἀλλοτρίων σπερμάτων ἡ γυνὴ πεφώραται.

Λύεται δὲ καὶ διὰ καινοτάτην θρησκείαν ἀγνοηθεῖσαν καὶ δογμάτων διαφοράν.

Ἢ διὰ τρόπων αἰσχρότητα ἢ τύχης ἐναλλαγήν.

Ἢ διὰ γάμων ὑπέρθεσιν ὑπὲρ τετραετίαν μὴ ἐξ εὐλόγου ἐκτα[235β A]θεῖσαν αἰτίας, διὰ νόσον ἴσως χρονίαν ἢ θάνατον γονέων ἢ κεφαλικὰ ἐγκλήματα ἢ μακρὰν ἀποδημίαν ἐξ ἀνάγκης γενομένην.

Ἔτι δὲ διὰ βίαν ἄρχοντος ἐπαρχίας τῆς μνηστείας γενομένης, τῆς τε κόρης καὶ τῶν γονέων αὐτῆς μὴ συναινούντων.

Ἢ δι᾽ ἀπόκαρσιν ἀληθῆ καὶ τὴν πρὸς τὸν μονήρη βίον μετάβασιν.

Ἢ τὸ εἶναι βουλευτὴν ἢ διὰ τὸ ὑποκεῖσθαι τῷ δημοσίῳ τὴν οὐσίαν αὐτοῦ ἢ ἄλλῳ λειτουργήματι ἔνοχον εὑρεθῆναι.

Τούτων οὖν τῶν ἀπηριθμημένων τινὸς τὴν ἕνωσιν μὴ διαστήσαντος,

---

*Βαλσ. (=Σύντ. 4, 453$^{20-29}$)* || *⟨...⟨Νε. Ἀλεξίου Αʹ ἔτ. 1084 (πβ.* Dölger *ἀρ. 1116)* || *πβ. Φωτειν. Γʹ 5.14.*

**σπβʹ 2** Λύεται - **19** μοιχᾶται *⟨Βλάστ. Γ 15: 183$^{4-27}$* || *⟨...⟨Πρόχ. Νόμ. 1.8, 10 — Βασ. 4.1.10, 28.1.12, 17, 20, σχλ. 8 Βασ. 28.2.2 — Νε. Λέοντος ϛʹ 93 κ. 109 — Νε. Ἀλεξίου Αʹ ἔτ. 1092*

---

μένην *R* || **30** αὐτῆς *κώδδ.*: ταύτης *Σύντ.*

**σπβʹ: 2** ματθαίου *ἐν τῇ ὤᾳ κώδδ.* || δὲ *παρλπ. V* || μνιστεία *V* || *μτ.* ὥσπερ *προσθ.* καὶ *Σύντ.* || **3** αʹ *ἐν τῇ ὤᾳ κώδδ., ἐν τῷ κειμ. Σύντ.* || **5** βʹ *ἐν τῇ ὤᾳ κώδδ., ἐν τῷ κειμ. Σύντ.* || ἐγκάστριος *V* || πεφώραται *(ὡς Σύντ.) δρθ.*: -ρειται *AIR*, -ρηται *V* || **6** γʹ *ἐν τῇ ὤᾳ κώδδ., ἐν τῷ κειμ. Σύντ.* || δὲ *παρλπ. Σύντ.* || διακαινοτάτην *AR* || ἀγνωηθεῖσαν *V* || δομάτων *AR* || **8** δʹ *ἐν τῇ ὤᾳ κώδδ., ἐν τῷ κειμ. Σύντ.* || *πρὸ* ἢ² *προσθ.* εʹ *Σύντ.* || **9** εʹ *ἐν τῇ ὤᾳ κώδδ.,* ϛʹ *ἐν τῷ κειμ. Σύντ.* || διὰ γάμων *AIV*: διγάμων *R* || ὑπερθέσιν *V* || **10** νόσων *AR* || **11** μακρὰ *IV* || **12** ϛʹ *ἐν τῇ ὤᾳ κώδδ.,* ζʹ *ἐν τῷ κειμ. Σύντ.* || ἔτι *δρθ. ἐκ Συντ.*: εἰ *κώδδ.* || δὲ *παρλπ. V* || **14** ζʹ *ἐν τῇ ὤᾳ κώδδ.,* ηʹ *ἐν τῷ κειμ. Σύντ.* || **15** ηʹ *ἐν τῇ ὤᾳ κώδδ.,* θʹ *ἐν τῷ κειμ. Σύντ.* || *πρὸ* ἢ² *προσθ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



[229β R] ὁ τὴν ἑτέρῳ μνηστευθεῖσαν ἀγόμενος, ἔτι τοῦ μνηστευσαμένου ζῶντος, μοιχᾶται.

Ἡ μανία ἐμποδίζει τὴν μνηστείαν, ἐπιγενομένη δὲ οὐ λύει τὴν συστᾶσαν.

*Περὶ μανίας*

Ἡ ρια΄ νεαρὰ τοῦ καίσαρος Λέοντος καὶ ἡ ριβ΄ τοῦ αὐτοῦ, καὶ μανίας ἐπιγενομένης τῇ μνηστείᾳ, λύεσθαι τὸν γάμον διορίζονται· πλήν, εἰ μὲν πρὸ τοῦ γάμου ἢ κατὰ τὴν ἡμέραν τοῦ γάμου ἡ μανία ἑνὶ τῶν μνηστήρων ἐπιγένηται, αὐτίκα, φασί, καὶ ἡ διάλυσις τοῦ γάμου γενήσεται· εἰ δὲ μετὰ τὸν γάμον, εἰ μὲν ἡ μνηστὴ εἰς μανίαν περιπέσοι μὴ κατ' ἐπιβουλὴν τοῦ οἰκείου ἀνδρὸς μήτε μὴν συνειδότος αὐτοῦ τὴν πανουργίαν, ἀλλ' ἑτέρωθεν τοῦ πάθους ἐπισυμβάντος, μέχρι τρίτου ἔτους φέρειν τὴν δυστυχίαν τὸν ἄνδρα καὶ τῆς κατηφείας ἀπολαύειν· καὶ εἴγε μὴ ἐν χρόνῳ τοσούτῳ λύσις εἴη τοῦ κακοῦ, μηδὲ πρὸς τὰς οἰκείας ἐπανέλθοι φρένας ἡ τὴν μανίαν νοσοῦσα, τηνικαῦτα διασπᾶσθαι τὴν κοινωνίαν καὶ τῆς ἀνυποίστου συμφορᾶς ἐλευθεροῦσθαι τὸν ἄνδρα· εἰ δὲ ὁ μνηστὴρ εἰς μανίαν περιπέσοι, ἐφ' ὅλοις ἔτεσι πέντε τοὺς συναπτομένους μὴ διαζεύγνυσθαι· εἰ δὲ μετὰ τὴν τοῦ τοσούτου χρόνου περίοδον μὴ γένηταί τις ἀπαλλαγὴ τῆς δυστυχίας, μηδὲ πρὸς ἀναφρόνησιν ὁ μεμηνὼς κατασταίη, τηνικαῦτα διατέμνεσθαι τὴν γαμήλιον κοινωνίαν, μηδεμιᾶς μηδετέρῳ μέρει προσγινομένης καινοτομίας.

---

*(πβ. Dölger ἀρ. 1167) — Σύν. Μ 15.11-12 — 'Αρμ. 4.1.10-11, 18, 25* || ⟩ *Μαλξ. (Θέμ.) ρμε΄ 1-5, (Ρουμ.) ρν΄· πβ. Νομκ. Α΄ 14, 24* || **20** Ἡ μανία - συστᾶσαν ⟨*'Αρμ. 4.1.14 (πβ. 4.15.5) = Σύν. Μ 15.4* || ⟨...⟨*Βασ. 28.1.6 — Βλάστ. Γ 15: 184* || *πβ. Νομκ. Α΄ 13* || **22** *Ἡ ρια΄* - **37** *καινοτομίας* ⟨*'Αρμ. 4.1.15* || ⟨...⟨*Νε. Λέοντος ϛ΄ 111 κ. 112* || ⟩ *Μαλξ. (Θέμ.) ρμε΄ 6, (Ρουμ.) ρν΄, Νομκ. Α΄ 21.*

---

ι΄ *Σύντ.* || **16** ἄλλο *AR* || **20** νόμος *ἐν τῇ ᾤᾳ κώδδ.* || τὴν μνηστείαν *(ὡς 'Αρμ.) κώδδ.*: τῇ μνηστείᾳ *Σύντ. κ. Βασ.* || συστᾶσαν *(ὡς Βασ. κ. 'Αρμ.) κώδδ.*: σύστασιν *Σύντ.* || **21** περὶ μανίας *ἐν τῷ κειμ. AR*: *ἐν τῇ ᾤᾳ I, παρλπ. V* || **22** νεαρὰ λέοντος τοῦ βασιλέως *ἐν τῇ ᾤᾳ κώδδ.* || *πρὸ* ρια΄ *προσθ.* δὲ *'Αρμ.* || **24** ἡ *(ὡς 'Αρμ.) A*: ἢ *IRV* || **25** φασὶν *V* || **26** μανία *R* || **28** τὴν *AIV*: τη *(ἄ. τόν.) R* || δυστηχίαν *I* || **30** λύσεις *V* || μηδὲ *ἐγρ.*: μὴ δὲ *κώδδ.* || ἐπανέλθη *V κ. κῶδ. H τοῦ 'Αρμ.* || **31** νοσοῦσαν *V κ. (πρὸ δρθ.) R* || τῇ νικαῦτα *R* || **33** περιπέση *I*, -σει *V* || **34** τὴν τοῦ τοσούτου *AIR*: τὴν τουσούτου *V* || **35** μηδὲ *ἐγρ.*: μὴ δὲ *κώδδ.* || ἀναφρόνησιν *AR*: ἀναφώνησιν *IV* || **36** μὴ δὲ μιᾶς *IV* || μηδ' ἑτέρῳ *IV* || πρὸς γινομένης *R.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

[236α A] **Κεφάλαιον σπγ΄. Περὶ ἀῤῥαβώνων μνηστείας**

Ὁ ἀῤῥαβὼν φύσιν ἔχει τοιαύτην, ἵνα ὁ μὲν λαβὼν τὸν ἀῤῥαβῶνα, εἰ παραιτήσεται, διπλάσιον, ὅπερ ἔλαβεν, ἀποδῷ· ὁ δεδωκώς, ἵνα ἐκπέσῃ τῶν ἀῤῥαβώνων. Ἐὰν εἷς τῶν μνηστευσαμένων τελευτήσῃ μηδὲν ἐμποδίσας τῷ γάμῳ, ἀναδίδοται ἀνελλιπῶς ὁ δοθεὶς ἀῤῥαβών. Ἀῤῥαβώνων δὲ ἐπ᾿ ὀνόματι μνηστείας δοθέντων, ἐὰν ἐν τῷ μεταξὺ ὁ μνηστὴρ ἢ ἡ μνηστὴ τελευτήσῃ πρὸ τοῦ τὸν γάμον γενέσθαι, τὰ δοθέντα χάριν ἀῤῥαβῶνος κελεύομεν ἀποκαταστῆναι, εἰ μὴ ἄρα αἰτίαν εἰς τὸ μὴ ἐπιτελεσθῆναι τοὺς γάμους τὸ τελευτῆσαν πρόσωπον [230α R] ἤδη παρέσχεν. Ἴσως γὰρ ἤδη δέδωκεν ὁ ἀνὴρ αἰτίαν εἰς τὸ μὴ γενέσθαι τὸν γάμον καὶ ὑποπεσὼν τῇ ἀπωλείᾳ τῶν ἀῤῥαβώνων τότε ἐτελεύτησε. Πολλάκις πατὴρ ὑπὲρ τῆς ἰδίας θυγατρὸς δεξάμενος ἀῤῥαβῶνα τελευτᾷ, μηδέπω γενομένων τῶν γάμων· εἶτα μετὰ τὸν ἐκείνου θάνατον ἢ ἐπίτροπος ἢ κουράτωρ παρασκευάζει λυθῆναι τὴν μνηστείαν· λέγει οὖν ἡ διάταξις, ὅτι οὐ χρὴ τὰ ἐν τῇ ζωῇ τοῦ πατρὸς δοκιμασθέντα καὶ συναρέσαντα παραχαράττεσθαι. Τῇ τελευτῇ τοῦ μνηστῆρος ἀναδίδοται ὁ ἀῤῥαβών. Ὁ διὰ τὸ μονάσαι λύων τὴν μνηστείαν ἀναλαμβάνει οὓς δέδωκεν ἀρραβῶνας ἀζημίως, κἂν μνηστὴρ ᾖ, κἂν μνηστή. Ἐὰν ὁ μνηστευόμενος ἢ μνηστευομένη, μετὰ τὸ λαβεῖν ἀῤῥαβῶνας ἢ καὶ δοῦ[94β I]ναι, τὸν μονήρη βίον ἀγαπήσῃ, ὁ μὲν μνηστὴρ ἀναλαμβάνει οὓς δέδωκεν ἀῤῥαβῶνας, ἡ δὲ μνηστὴ οὓς ἔλαβεν ἀποδίδωσι μόνον, καὶ οὐ τὸ διπλοῦν ἀναγκάζεται παρασχεῖν· τὸ αὐτὸ καὶ ἐπὶ προστίμων. Ἐὰν γυνὴ αὐτεξουσία τελείαν ἄγουσα τὴν ἡλικίαν ἀῤῥαβῶνας δεξαμένη

---

**σπγ΄ 2** Ὁ ἀῤῥαβὼν - **14** παραχαράττεσθαι ⟨*Ἀρμ. 4.2.1-3* || ⟨...⟨*Πρόχ. Νόμ. 2.1-2 — Βασ. 28.2.1 — Σύν. Μ 15.13* || ⟩*Μαλξ. (Θέμ.) ρμγ΄ 1-2, (Ρουμ.) ρμθ΄· πβ. Νομκ. Α΄ 26, Φωτειν. Α΄ 21.1,11* || **14** Τῇ τελευτῇ - **15** ἀῤῥαβὼν ⟨ ? || ⟨...⟨*Πρόχ. Νόμ. 2.1 — Βασ. 28.2.1 — Σύν. Μ 15.13 — Ἀρμ. 4.2.2* || **15** Ὁ διὰ τὸ - **17** μνηστὴ ⟨ ? || ⟨...⟨*Πρόχ. Νόμ. 2.9 — Βασ. 28.2.4 — Σύν. Μ 15.15 — Ἀρμ. 4.2.11* || **17** Ἐὰν ὁ μνηστευόμενος - **20** παρασχεῖν ⟨*Ἀρμ. 4.2.11 — Πρόχ. Νόμ. 2.9* || ⟨...⟨*Βασ. 4.1.10, 28.2.4 — Σύν. Μ 15.15, 27* || **20** τὸ αὐτὸ - προστίμων ⟨*Κῶδ. B(odleianus 6437) τοῦ Προχ. Νόμ. (=J.G-R.: Ζέπ. τ. II σ. 123 σημ. 20)* || **21** Ἐὰν γυνὴ - **24**

---

**σπγ΄ : 2** τοῦ (τοῦ *παρλπ. V*) ἀρμενοπούλου (ά- *AI*) *ἐν τῇ ᾤᾳ κώδδ.* || **3** *πρὸ* ὁ δεδωκὼς *ἀνεμέν.* εἰ δὲ *(ὡς Ἀρμ.)* || ἐκπέσει *V* || **4** μὴ δὲν *RV* || ἀνεδίδοται *V* || **5** ἀνελλιπῶς *ὀρθ.*: ἀνελιπῶς *κώδδ.* || **6** τελευτήσῃ *ὀρθ.*: -σει *κώδδ. κ. κῶδ. Η τοῦ Ἀρμ.* || **10** ἀπολεία *V* || ἐτελεύτησε *ὀρθ.*: -σεν *κώδδ.* || **11** μηδέπω *(ὡς Ἀρμ.) AR*: μήπω *IV* || **13** *μτ.* μνηστείαν *παρπμπ. (διὰ τριῶν τελειῶν) εἰς ᾤαν I, ἔνθα* σημ(είωσαι) || **14** λέοντος καὶ κωνσταντίνου τῶν βασιλέων *ἐν τῇ ᾤᾳ κώδδ.* || **15** μνηστῆρος *AIR*: ἀνδρὸς *V* || ἀναδίδοτε *V* || **16** ᾖ *IV*: ἢ *AR* || **17** ὁ μνηστευόμενος ἢ μνηστευομένη *κώδδ.*: μνηστὴρ ἢ καὶ μνηστὴ *Πρόχ. Νόμ. κ. Ἀρμ.* || **18** μονήρι *V* || **19** δέδοκεν *V* || ἀποδίδωσι *κώδδ.*: ἀνα- *κῶδ. Β τοῦ Προχ. Νόμ. κ. Ἀρμ.,* ἀναδιδοῖ

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



παραιτήσηται τὸν γάμον, διπλοῦς διδότω τοὺς ἀῤῥαβῶνας· εἰ δὲ ἐλάττων οὖσα συγγνώμην ἡλικίας ᾔτησε καὶ ἀῤῥαβῶνας ἔλαβε, πάλιν τὸ αὐτὸ διπλάσιον ἀναδιδότω.

**Κεφάλαιον σπδ΄. Περὶ αἱρετικῶν μνηστείας**

Οἱ ἑτερόδοξοι ἐν ἀγνοίᾳ εἰ, ποιούμενοι πρὸς ἑαυτοὺς μνηστείαν, δώσουσιν [236β A] ἀῤῥαβῶνας, δύνανται ἀναλαβεῖν, εἴ τι δεδώκασι, λύοντες τὴν μνηστείαν· εἰ γὰρ ᾔδεισαν τὸ ἀλλότριον τῆς πίστεως καὶ ἔδωκαν ἀῤῥαβῶνας γάμου, τότε ὁ μὲν ἀνὴρ ζημιοῦται ἃ ἔδωκεν, ἡ δὲ γυνὴ ἐν διπλῷ δίδωσιν ἃ ἐδέξατο. Ἐὰν γυνὴ αὐτεξουσία τελείαν ἄγουσα ἡλικίαν ἀῤῥαβῶνας δεξαμένη παραιτεῖται τὸν [77α V] γάμον, διπλοῦς ἀναδιδότω αὐτούς· εἰ δὲ ἐλάττων οὖσα συγγνώμην ἡλικίας ᾔτησε καὶ ἀῤῥαβῶνας ἔλαβε, πάλιν τὸ διπλάσιον ἀναδιδότω. Ἐὰν δὲ ἀφῆλιξ ἐστὶ καὶ αὐτὴ συγγνώμην ἡλικίας οὐκ ᾔτησεν, αὐτὸ τὸ ἁπλοῦν ὅπερ ἔλαβεν ἀπο[230β R]καταστήσει, φαινόμενον εἶναι παρ᾽ αὐτῇ· οὐ δεῖ γὰρ αὐτὴν κερδᾶναι ἐξ ἑτέρου ζημίας, κἂν ἀφῆλιξ ἐστίν· εἰ δὲ ἐδαπανήθη τὸ πρᾶγμα, οὐ ζημιωθήσεται ὑπὲρ αὐτοῦ ἡ γυνή. Ἐὰν πατὴρ κόρης ἢ μήτηρ ἀῤῥαβῶνας ἔλαβεν ἢ πάππος ὑπὲρ ἐγγόνης τελείας οὔσης ἡλικίας, καὶ αὐτοὶ διπλάσιον παρεχέσθωσαν, εἴπερ δυνάμενοι προβῆναι τοὺς γάμους παραιτοῦνται ποιῆσαι. Εἰ δὲ ἀνυπόστατος ὁ γάμος μέλλει εἶναι, αὐτοὶ οἱ ἀῤῥαβῶνες ἀναδιδόσθωσαν ἁπλοῖ· εἰ δὲ καὶ μὴ ἦν ἀνυπόστατος ὁ γάμος, δι᾽ εὔλογον δὲ αἰτίαν παραιτοῦνται, εἰ μὲν ᾔδεισαν καὶ πρὸ τῆς

---

ἀναδιδότω ⟨*Ἀρμ. 4.2.5 = σχλ. Βαλσ. εἰς Νομοκάνονα 12.13 (= Σύντ. 1, 272*$^{15-21}$*) =Σύν. Μ 15.14 = Βασ. 28.2.2 = Πρόχ. Νόμ. 2.4* || *πβ. Φωτειν. Α΄ 21.2.*

**σπδ΄ 2** Οἱ ἑτερόδοξοι - **12** γυνὴ ⟨*Ἀρμ. 4.2.4-5* || ⟨...⟨*Πρόχ. Νόμ. 2.3-4 —Βασ. 28.2.2 — Σύν. Μ 15.14* || *πβ. Φωτειν. Α΄ 21.2* || **12** Ἐὰν πατὴρ - **31** φυλαττέσθωσαν ⟨*Ἀρμ. 4.2.7-8* || ⟨...⟨*Πρόχ.*

---

*Πρόχ. Νόμ. (πλὴν κώδ. Β)* || **21** *μτ.* ἐὰν *προσθ.* ἡ *IR* || τὴν *(ὡς Πρόχ. Νόμ., Βασ., Σύν. κ. Σύντ.) κώδδ.: παραλ. Ἀρμ.* || **22** παραιτήσηται *(ὡς Βασ., Σύν. κ. Σύντ.) AR*: -τήσεται *IV*, -τῆται *Πρόχ. Νόμ. κ. Ἀρμ.* || διδότω *κώδδ.* (-δώτω *V*): ἀνα- *Πρόχ. Νόμ., Βασ., Σύν. κ. Ἀρμ.*, ἀντι- *Σύντ.* || τοὺς ἀῤῥαβῶνας *(ὡς Πρόχ. Νόμ., Βασ., Σύν. κ. Σύντ.* [*παραλ.* τοὺς]*) κώδδ.*: αὐτοὺς *Ἀρμ.* || *μτ.* εἰ δὲ *προσθ.* καὶ *Σύντ.* || **23** *μτ.* ἡλικίας *ὠβλ.* οὐκ *(ὡς Πρόχ. Νόμ., Βασ., Σύν. κ. Ἀρμ.)* ὅπερ *προσθ. κώδδ.* || αὐτὸ *παραλ. Πρόχ. Νόμ., Βασ., Σύν., Ἀρμ. κ. Σύντ.*

**σπδ΄ : 2** τοῦ ἁρμενοπούλου (ἁ- *AI*) *ἐν τῇ ᾤᾳ AIR*: *παραλ. V* || **3** δύναται *V* || **4** εἰ γὰρ - **5** γάμου *παραλ. IV* || ἡ *AIR*: εἰ *V* || δίδωσιν ἐν διπλῷ *Ἀρμ.* || **6** *μτ.* ἄγουσα *προσθ.* τὴν *IV* || **9** ἀφίλιξ *V* || **10** ἁπλοῦν *(ὡς Ἀρμ.) AR*: διπλοῦν *IV* || **11** αὐτῇ *(ὡς Ἀρμ.) διορθ.*: αὐτῷ *κώδδ.* || ζημίας *(ὡς Ἀρμ.) διορθ.*: -αν *κώδδ.* || **12** ἐὰν *κώδδ.*: εἰ δὲ καὶ *Ἀρμ.* || **15** εἰ *AIR*: ἐὰν *V* || **16** ἀναδιδόσθωσαν *IV*: ἀναδίδοσθαν *AR* || **17** δὲ *παραλ. IV* || παραιτοῦνται - **18** αἰτίαν *παραλ.*



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

μνηστείας τὴν αἰτίαν, ἑαυτοὺς ἐγκαλείτωσαν διὰ τί τὸν τοιοῦτον ἐμνηστεύσαντο· εἰ δὲ ἠγνόουν ἢ πολλάκις ἡ αἰτία μετὰ τὴν μνηστείαν συμβῇ, τὸ ἁπλοῦν ἀποδιδόσθω· τὰ δὲ αὐτὰ καὶ ⟨ἐπὶ⟩ τοῦ μνηστῆρος λέγομεν τοῦ τὴν μνηστείαν παραιτησαμένου. Εἰ καὶ νόμοις ἀπηγορευμένοι οὐκ εἰσὶν οἱ ἐλπισθέντες γάμοι, μετὰ δὴ τοὺς δοθέντας ἐπὶ μνήστροις ἀῤῥαβῶνας, ἡ μνηστὴ τὴν συνάφειαν τοῦ μνηστῆρος διὰ τὴν αἰσχρὰν αὐτοῦ ἢ ἄσωτον ἀναστροφὴν ἢ τὴν τῆς θρησκείας ἢ τοῦ δόγματος διαφορὰν παραιτεῖται, ἢ διὰ τοῦτο, ὅτι ὁ ἀνὴρ συνάφειαν, ἐξ ἧς ἐλπὶς γονῆς τικτούσης, ποιεῖν οὐ δύναται, ἢ δι' ἄλλην εὔλογον αἰτίαν· εἰ μὲν ἀποδειχθῇ, πρὸ τοῦ δοθῆναι τοὺς αὐτοὺς ἀῤῥαβῶνας τοῦτο αὐτὸ τὴν γυναῖκα ἢ τοὺς αὐτῆς [237α A] γονεῖς ἐγνωκέναι, ἑαυτοὺς ὀφείλουσιν ἐγκαλεῖν· ἐὰν δὲ ταῦτα ἀγνοοῦντες τοὺς ἐπὶ τῇ μνηστείᾳ ἀῤῥαβῶνας ἐδέξαντο, ἢ μετὰ τοὺς δοθέντας ἀῤῥαβῶνας αἰτία τις εὔλογος μεταμελείας παρενετέθη, αὐτῶν μόνων ἀποδιδομένων, περὶ τῆς ἄλλου ἁπλοῦ τιμωρίας ἐλεύθεροι φυλαττέσθωσαν. Ἐὰν μνηστὴρ ἢ καὶ μνηστή, μετὰ τὸ λαβεῖν ἀῤῥαβῶνας ἢ καὶ δοῦναι, τὸν μονήρη βίον ἀγαπήσῃ, ὁ μὲν μνηστὴρ ἀναλαμβάνει οὓς δέδωκεν, ἡ δὲ μνηστὴ οὓς ἔλαβεν ἀναδίδωσι μόνον καὶ οὐ τὸ διπλοῦν ἀναγκάζεται παρασχεῖν, τῆς ποινῆς ἑκατέρου μέρους συγχωρουμένης.

**Κεφάλαιον σπε΄. Περὶ δωρεῶν μνηστείας τοῦ αὐτοῦ Ἀρμενοπούλου**

[231α R] Ἐὰν ὁ ἀνὴρ μὴ ὑποδεξάμενος προῖκα βούλεται, τὸ ἐν τῇ συνηθείᾳ γι-

---

*Νόμ. 2.6-7—Βασ. 28.2.2 §§ 1-5 —Σύν. Μ 15.14* || **31** Ἐὰν μνηστὴρ - **35** συγχωρουμένης ⟨*Ἀρμ. 4.2.11* || ⟨...⟨*Πρόχ. Νόμ. 2.9 —Βασ. 4.1.10, 28.2.4 — Σύν. Μ 15.15, 27* || *πβ. Νομκ. Α΄ 15.*

---

*IV* [*πήδ. τοῦ γρφ. τοῦ y ἀπὸ ὁμ. εἰς ὅμ.*] || διὰ τί *ἐγρ.*: διά τι *κώδδ.* || ἐμνηστεύσαντο *(ὡς Ἀρμ.) δρθ.* (*πβ.* ἐγκαλείτωσαν): -σατο *κώδδ.* || **20** ἐπὶ *προσθ. ἐκ Συντ.*: *παρλπ. κώδδ.*, περὶ μνηστῆρος *(παρλπ.* τοῦ) *Ἀρμ.* || τὴν *(ὡς Σύντ. κ. Ἀρμ.) IV*: τοὺς *AR* || **21** εἰ *AIR*: ἢ *V* || ἀπηγορευμένοι *(ὡς Ἀρμ.) δρθ.*: -οις *κώδδ.* || **22** δὴ *κώδδ.*: δὲ *Ἀρμ.* || μνήστροις *AIR*: μνηστήροις *V* || **23** μνηστὴ *AIR*: -ὴν *V* || **24** τὴν *(ὡς Ἀρμ.) A*: τὸν *IRV* || **25** ὁ *κώδδ.*: ὡς *Ἀρμ.* || τικτούσης *κώδδ. (περὶ ἧς γρφ. πβ. Ἀρμ. σ. 477 σημ. 29)*: *ἀνεμέν.* τίκτεται *(ὡς Πρόχ. Νόμ. κ. Ἀρμ.)* || δύναται *AIR*: -νται *V* || **26** δι' ἄλλην *AR*: δ' ἄλλη *IV* || *μτ.* εὔλογον *προσθ.* παραιτήσεως *Πρόχ. Νόμ. κ. Ἀρμ. (πβ. Ἀρμ. σ. 477 σημ. 30)* || **27** αὐτῆς *AIR*: αὐτοὺς *V* || **29** τῇ *παρλπ. IV* || μνηστείας *V* || **30** παρετενέθη *V* || **31** ἐλεύθεροι *(ὡς Πρόχ. Νόμ. κ. Ἀρμ.) δρθ.*: -ρον *κώδδ.* || **32** μονήρι *V* || **33** *μτ.* δέδωκεν *προσθ.* ἀῤῥαβῶνας *Πρόχ. Νόμ. κ. Ἀρμ.* || **34** συγχωρούμένης *(ὡς Ἀρμ.) δρθ.*: -ρούμενον *IV*, -ρουμένου *AR*.

**σπε΄**: **2** τοῦ αὐτοῦ ἀρμενοπούλου *ἐν τῇ ᾠᾳ (παρλπ.* τοῦ αὐτοῦ *I) AIR* || βούληται *Ἀρμ.* ||

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



νόμενον, προῖκα ποιῆσαι τῇ ἰδίᾳ μνηστῇ, μελλούσῃ αὐτῷ γαμεῖσθαι, εἰ μὲν δωρήσεται πράγματα ἰδικῶς καὶ μετὰ ταῦτα δέξεται αὐτὰ παρ᾽ αὐτῆς εἰς προῖκα, καὶ ἡ δωρεὰ τελεία ἐστίν, ὡς πρὸ τοῦ γάμου γενομένη, καὶ ἡ προὶξ συνίσταται, ὡς ἐπιδόσεως προελθοῦσα. Ἐὰν δὲ γράψῃ μόνον, ὅτι ὑπεδέξατο προῖκα μηδὲν ὑποδεξάμενος, οὐδεμία ἐστὶν ἀπαίτησις τῶν μὴ ἐπιδοθέντων αὐτῷ πραγμάτων. Τῶν προγαμιαίων δωρεῶν αἱ δεσποτεῖαι ὀφείλουσιν ἐντεῦθεν ἤδη συνίστασθαι, ὑπὸ αἵρεσιν δὲ ἀνατρέπεσθαι, ἐὰν μὴ προβῶσιν οἱ γάμοι. Ἐὰν μὴ ἰδικῶς τραδιτεύσῃ τις τῇ ἰδίᾳ μνηστῇ, ἃ ἐδωρήσατο αὐτῇ, κἂν ὁμολογήσῃ ἔχειν αὐτὰ ἐν προικί, οὐδὲν ἀπαιτεῖται. Τοῦτο νόει ἐπὶ μόνης μνηστῆς, ἐφ᾽ ἧς καὶ ἐλέχθη· εἰ γὰρ γυναικί τις ἐχαρίσατο, κἂν ἐδωρήσατο αὐτῇ τὰ δωρηθέντα, ὀφείλει ἐπιμεῖναι τῇ αὐτῇ βουλήσει. Ἐάν τις δωρήσηται τῇ μνηστῇ πράγματα ἐπὶ τούτῳ τῷ ὅρῳ, ἵνα, ὅτε προβῇ ὁ γάμος, τότε γένηται αὐτῶν δέσποινα, ἄχρηστός ἐστιν ἡ τοιαύτη δωρεά. Καὶ ὁ λογισμὸς δῆλος· εἰς καιρὸν γὰρ ἀναφέρεται γάμου, ἐν ᾧ μεταξὺ [237β A] τῶν συνοικούντων σύστασιν οὐ δέχεται δωρεά. Καὶ εἰκότως· συνισταμένου γὰρ τοῦ γάμου οὐ δύναται ὁ ἀνὴρ δεσπότης γενέσθαι πράγματος τῇ γυναικὶ διαφέροντος, ἢ ἡ γυνὴ δεσπόσαι πράγματος ἀνήκοντος τῷ ἀνδρί. Εἰ μὲν γὰρ ὡς μνηστῇ ὁ ἀνὴρ ἐδωρήσατο, ἔῤῥωται ἡ δωρεά· ἐπεὶ δ᾽ ὡς γυναικὶ ἐδωρήσατο, τοῦτο γὰρ [95α I] δηλοῖ «ὅτε προβῇ ὁ γάμος», ἀνίσχυρός ἐστιν ἡ τοιαύτη κατὰ τὸν κανόνα τὸν λέγοντα «μέσον ἀνδρὸς καὶ γυναικὸς δωρεὰ οὐκ ἔῤῥωται».

*Ἔτι περὶ δωρεῶν μνηστείας*

Ὅσα ὁ ἀνὴρ δωρεῖται τοῖς γονεῦσι τῆς μνηστῆς ἐπὶ τῷ γενέσθαι τοὺς γάμους,

---

**σπε´ 2** Ἐὰν ὁ ἀνὴρ - **9** γάμοι ⟨*Ἁρμ. 4.3.1-2* || ⟨...⟨*Πρόχ. Νόμ. 3.1 —Βασ. 28.3.1 —Σύν.Μ 15.16 —Ἐπιτ. 21.1* || **9** Ἐὰν μὴ ἰδικῶς - **13** βουλήσει ⟨*σχλ. εἰς Ἁρμ. 4.3.2: 480 σημ. b* || *πβ. Νομκ. Α´ 27-28* || **13** Ἐάν τις δωρήσηται - **22** ἔῤῥωται ⟨*Ἁρμ. 4.3.3* || ⟨...⟨*Βασ. 28.3.4 — Ἐπιτ. 21.6* // *— Πεῖρα 5,9* || **24** Ὅσα - **25** αὐτῷ ⟨*Ἁρμ. 4.3.5* || ⟨...⟨*Πρόχ. Νόμ. 3.2 —Βασ.*

---

τὸ *παρλπ. V* || **3** δωρήσεται *(ὡς κῶδ. Η τοῦ Ἁρμ.) κώδδ.*: -σηται *Ἁρμ. (πλὴν κώδ. Η)* || **4** δέξεται *(ὡς κῶδ. Η τοῦ Ἁρμ.) κώδδ.*: -ξηται *Ἁρμ. (πλὴν κώδ. Η)* || **5** γενομένην *IV* || **6** ἐπιδόσεως *(ὡς Ἁρμ.) ARV*: ἐπὶ δόσεως *(ὡς κώδδ. Προχ. Νόμ.) I* || προελθοῦσα *(ὡς κῶδ. Η τοῦ Ἁρμ.) κώδδ.*: *ἀνεμέν.* -σης *ὡς Πρόχ. Νόμ., Βασ. κ. Ἁρμ. (πλὴν κώδ. Η)* || **7** οὐδεμίαν *IV* || ἔστιν *AIR* || αὐτῶν *R* || **8** δεσποτίαι *I (μτ. ὀρθ.), V* || **9** δὲ *παρλπ. I (ἐφθρμ. V)* || **10** τραδιττεύσῃ *AR* || ὁμολογήσει *AR* || **11** μνηστῆς μόνης *V* || **12** ἐλέγχθη *V* || **14** *μτ.* ἐπὶ *προθ.* τοῦ *V* || ὅρῳ *AR*: ὅρει *IV* || ἄχρηστό *A*: ἄχριστός *R*, -όν *IV* || **17** συνισταμένου *V*: συισταμένου *(-νου μτ. ὀρθ.) I*, συνισταμένους *A*, -ας *R* || **18** *μτ.* γενέσθαι *προθ.* τοῦ *V* || ἡ *παρλπ. IV* || **20** πρὸ βῇ *A* || **23** ἔτι - μνηστείας *ἐν τῷ κειμ. ARV, ἐν τῇ ᾤᾳ I* || **24** λέοντος καὶ κωνσταντίνου

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ταῦτα μὴ γινομένων τῶν γάμων ἀναδίδοται αὐτῷ.

**Κεφάλαιον σπς΄. Περὶ δόλου, οὗ ἐποίησεν ἡ γυνὴ τῷ ἀνδρὶ αὐτῆς περὶ προικῴας ὑποσχέσεως**

Γυνή τις μέλλουσα γαμεῖσθαι δόλον ἐποίησε τῷ ἀνδρὶ περὶ τὴν προῖκα [231β R] μηδὲν μὲν ῥητῶς ἐπαγγειλαμένη, ἀπατήσασα δὲ αὐτὸν ἐλπίδι μεγάλης προικός· καὶ διὰ τοῦτο καὶ ὁ ἀνὴρ ἐπηγγείλατο ψιλῶς ἢ καὶ ἐπηρωτήθη, λόγῳ μνήστρων δωρηθῆναι τῇ γυναικὶ ποσότητα φανεράν, τυχὸν διακοσίων νομισμάτων· ἐπὶ τούτοις συνέστη ὁ γάμος καὶ ἐτελεύτησεν ὁ ἀνὴρ ἐπὶ ἀδελφῷ κληρονόμῳ· ἡ γυνὴ τοίνυν ἐκίνει κατὰ τοῦ ἀδελφοῦ καὶ κληρονόμου τοῦ ἀνδρός, ἀπαιτοῦσα αὐτὸν τὰ ἐκ τῆς ἐπαγγελίας ἤγουν ἐπερωτήσεως. Ἀντιγράφει οὖν ἡ διάταξις οὕτω πρὸς τὸν ἀδελφόν· «τὴν γὰρ ἐπαγγελίαν ἀπὸ τοῦ ποτέ σου ἀδελφοῦ μνήστωρ ἕνεκεν γενομένην ἢ καὶ εἰς ἐπερώτησιν κατενεχθεῖσαν ἐπιζητεῖ ἡ γυνή, διὰ τοῦτο οὐκ ὀφείλει παρασχεθῆναι αὐτῇ, ἐπειδὴ ἐν τῇ προικὶ τὸν ἄνδρα ἠπάτησεν». Ἡ διάταξις βούλεται τὸν προξενοῦντα γάμον μάλιστα μὲν μηδὲν λαμβάνειν, εἰ, δὲ ὅλως ἀνέχεται λαβεῖν, εἰ μὲν μηδὲν συνεφώνησε περὶ τούτου, μηδὲν ὅλως λαμβάνειν, εἰ δὲ καὶ συνεφώνησε, ⟨μὴ⟩ ὑπὲρ τὴν εἰκοστὴν μοῖραν τῆς προικὸς καὶ τῆς προγαμιαίας δωρεᾶς ἐπιζητεῖν. Ἐπειδὴ τῇ μὲν μνηστῇ δυνατὸν δωρεῖσθαι, οὐκέτι δὲ [238α A] καὶ τῇ γαμετῇ, ἐζητείτω ἄρα, ἐὰν γένηται δωρεὰ ἐν αὐτῇ τῇ ἡμέρᾳ τῶν γάμων, ὡς πρὸς μνηστὴν

---

*28.3.2 — Σύν. Μ 15.17 —᾿Επιτ. 21.3* || *πβ. Νομκ. Α΄ 8, Φωτειν. Α΄ 21.12.*

**σπς΄ 3** Γυνὴ - **13** ἠπάτησεν *⟨᾿Αρμ. 4.3.6* || *⟨...⟨Πρόχ. Νόμ. 3.3 — Βασ. 28.3.3 —᾿Επιτ. 21.15* || *πβ. Νομκ. Α΄ 18* || **13** Ἡ διάταξις - **16** ἐπιζητεῖν *⟨᾿Αρμ. 4.3.12* || *⟨...⟨Πρόχ. Νόμ. 3.4—Βασ. 54.15.4 — Σύν. Π 31.3* || **16** Ἐπειδὴ - **25** ἀναιρεῖται *⟨᾿Αρμ. 4.3.7-8* || *⟨...⟨Πρόχ. Νόμ. 3.5-6 —*

---

τῶν βασιλέων *ἐν τῇ ᾤᾳ ARV, ἐν τῷ κειμ. I* || τῷ *(ὡς ᾿Αρμ.) V*: τὸ *AI*, το *(ἄ. τόν.) R* || **25** γινομένων *κώδδ.*: γενομένων *Πρόχ. Νόμ., Βασ., Σύν. κ. ᾿Αρμ.*

**σπς΄ : 1** προικῴας *ἐγρ.*: -κόας *κώδδ.* || **3** τῶν αὐτῶν βασιλέων *ἐν τῇ ᾤᾳ AIR, ἐν τῷ κειμ. V* || **4** μηδὲ *V* || μὲν *IRV*: μὴ *(μτ. δρθ. ἐξ ἀρχκ.* μὲν*) A, παρλπ.᾿Αρμ.* || ἐπηγγειλαμένη *IV* || δὲ *παρλπ. V* || **5** καὶ [2] *παρλπ. V* || ἢ *(ὡς ᾿Αρμ.) AIR*: εἰ *V* || λόγων *IV* || **6** δωρηθῆναι *(ὡς Πρόχ. Νόμ.) κώδδ.*: δοθῆναι *᾿Αρμ.* || *μτ.* γυναικὶ *προσθ.* δὲ *IV* || τυχὼν *AR* || **7** καὶ συνέστη ὁ γάμος ἐπὶ τούτοις *᾿Αρμ.* || καὶ *(ὡς Πρόχ. Νόμ. κ. Βασ.) κώδδ.*: εἶτα *᾿Αρμ.* || **8** ἐκίνει *δρθ. (ὡς Πρόχ. Νόμ. κ. Βασ.) ἐξ ᾿Αρμ.*: ἐκείνη *κώδδ.* || **10** οὕτω *δρθ.*: -ως *κώδδ.* || ἐπαγγελείαν *I* || **11** μνήστωρ *(ὡς κῶδ. Η τοῦ ᾿Αρμ.) κώδδ.*: *ἀνεμέν.* μνήστρων *(ὡς ᾿Αρμ. [πλὴν κώδ. Η]) ||* ἢ *κώδδ.*: *ἀνεμέν.* εἰ *(ὡς Πρόχ. Νόμ. [πβ. Βασ.]),* τὴν *᾿Αρμ.* || **15** συνεφώνησεν *I* || μὴ *προσθ. (ὡς Πρόχ. Νόμ.) ἐξ ᾿Αρμ.*: *παρλπ. κώδδ.* || **17** οὐκέτι *(ὡς ᾿Αρμ.) ἐγρ.* : οὐκ ἔτι *κώδδ.* || **18** ἐζητήτω *AR* || ἐὰν γένηται *δρθ. ἐξ ᾿Αρμ.*: καὶ γίνεται *κώδδ.* || πρὸς μνηστὴν *(ὡς ᾿Αρμ.) δρθ.*: προμνηστὴν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



γενομένη ἔῤῥωται, ἢ ὡς πρὸς γαμετὴν ἀνυπόστατός ἐστι. Λέγει τοίνυν ἡ διάταξις, ὅτι ἐν τῇ τοσαύτῃ ἀδηλίᾳ δεῖ ζητεῖν, ποῦ τῆς γυναικὸς οὔσης ἡ δωρεὰ γέγονεν, ἵνα, εἰ μὲν ἐν τῷ οἴκῳ τῷ ἰδίῳ ἦν, δόξῃ πρὸς μνηστὴν ἡ δωρεὰ γεγονέναι, εἰ δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρός, πρὸς γαμετήν· ἔκτοτε γὰρ γαμετὴ καὶ οὐ μνηστὴ δοκεῖ εἶναι ⟨ἡ⟩ γυνή. Ἡ γενομένη παρὰ τοῦ πενθεροῦ ἢ τῆς πενθερᾶς πρὸς τὴν νύμφην ἢ τὸν γαμβρὸν δωρεὰ [$77^{\beta}$ V] οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς ἀναιρεῖται. Ἡ πενθερὰ δύναται δωρήσασθαι τῷ ἰδίῳ γαμβρῷ ἢ τῷ μνηστῆρι τῆς ἰδίας θυγατρός, κἂν διαλυθῇ ὁ γάμος, ἡ δωρεὰ μένει. Μνηστὴρ καλῶς δωρεῖται τῇ ἰδίᾳ μνηστῇ πρὸ γάμου δωρεὰν διὰ τὸ πρὸ τῆς συστάσεως τοῦ συνοικεσίου γίνεσθαι αὐτήν· καθόλου γὰρ πᾶσα δωρεὰ γινομένη συνεστῶτος τοῦ γάμου μετα[$232^{\alpha}$ R]ξὺ ἀνδρὸς καὶ γυναικὸς ἀπηγόρευται. Ἐπεὶ δὲ τῇ μὲν μνηστῇ δυνατὸν δωρεῖσθαι, οὐκέτι δὲ τῇ γαμετῇ, ἐζητείτω ἄρα, ἐὰν γένηται ἡ δωρεὰ ἐν αὐτῇ τῇ ἡμέρᾳ τῶν γάμων, ὡς πρὸς μνηστὴν γενομένη ἔῤῥωται, ἢ ὡς πρὸς γαμετὴν ἀνυπόστατός ἐστι. Λέγει τοίνυν ἡ διάταξις, ὅτι ἐν τῇ τοσαύτῃ ἀδηλίᾳ δεῖ ζητεῖν, ποῦ τῆς γυναικὸς οὔσης ἡ δωρεὰ γέγονεν, ἵνα, εἰ μὲν ἐν τῷ οἴκῳ τῷ ἰδίῳ ἦν, δόξῃ πρὸς μνηστὴν ἡ δωρεὰ γεγονέναι, εἰ δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρός, πρὸς γαμετήν,⟨...⟩ εἴτε δι' εὐλογίας, εἴτε διὰ στεφανώματος ἢ διὰ συμβολαίου· τὰ δὲ παρὰ ταῦτα γινόμενα ὡς μηδὲ γεγονότα λογίζεσθαι. Ἐάν τις

---

σχλ. 1 Βασ. 28.3.6 —'Επιτ. 21.4, 12-13 || πβ. Νομκ. Β' 9, Φωτειν. Α' 21.14,16 || **25** Ἡ πενθερὰ - **26** μένει ⟨'Αρμ. 4.3.9: 484 σημ. 37 || ⟨...⟨Βασ. 28.3.12 — Σύν. Μ 15.22 || πβ. Νομκ. Α' 31 || **26** Μνηστὴρ - **29** ἀπηγόρευται ~ 'Επιτ. 21.18 || πβ. Νομκ. Α' 30 || **29** Ἐπεὶ - **35** γαμετὴν ⟨'Αρμ. 4.3.7 || ⟨...⟨Πρόχ. Νόμ. 3.5 — σχλ. 1 Βασ. 28.3.6 — 'Επιτ. 21.12-13 || πβ. Νομκ. Β'9, Φωτειν. Α' 21.14 || **35** εἴτε δι' εὐλογίας - **36** λογίζεσθαι ⟨ ? || **36** Ἐάν τις - **41** δω-

---

A R, πρὸ μνηστὴν IV || **19** ἐστιν 'Αρμ. || **20** τῇ παρλπ. I (δυσαγν. V) || **21** ἐν τῷ ἰδίῳ οἴκῳ ἦν I (δυσαγν. V), ἐν τῷ οἴκῳ ἦν τῷ ἰδίῳ 'Αρμ. || δόξῃ (ὡς 'Αρμ.) δρθ.: -ει κώδδ. || ἡ (ὡς 'Αρμ.) δρθ.: ἢ AIR, ἢ ἡ V || μτ. γεγονέναι προσθ. διὸ καὶ ἔῤῥωται 'Αρμ. (πλὴν κώδ. H): παρλπ. (ὡς Πρόχ. Νόμ. κ. κῶδ. H τοῦ 'Αρμ.) κώδδ. || **23** ἡ προσθ. ἐξ 'Αρμ.: παρλπ. κώδδ. || **24** τὴν παρλπ. V || ἀποθείας ARV || ἀντιγραφῆς (ὡς 'Αρμ.) AIR: γραφῆς V || **26** ἡ δωρεὰ μένει κώδδ.: οὐκ ἀνατρέπεται ἡ δωρεὰ : Βασ. κ. 'Αρμ. || μνηστὴρ κώδδ.: ἥττων 'Επιτ. (πλὴν κωδδ. W κ. F), ἥτωρ κῶδ. W, μνήστωρ κῶδ. F τῆς 'Επιτ. || **27** πρὸ γάμου δρθ.: πρὸς γάμου κώδδ., προγάμου 'Επιτ. || συστάσεως κώδδ.: στάσεως (« lege συστάσεως» ZvL.) 'Επιτ. || **28** μτ. γινομένη ὠβλ. μὴ (ὡς 'Επιτ.), ὅπερ προσθ. κώδδ. || **29** δὲ παρλπ. IV || **30** οὐκέτι (ὡς 'Αρμ.) ἐγρ.: οὐκ ἔτι κώδδ. || **31** πρὸς μνηστὴν γενομένη (ὡς ἀνωτ. στχ. 18/19 κ. 'Αρμ.) δρθ.: πρὸ μνηστῆς γενομένης A, προμνηστῆς γ. R, μνηστῆς γ. IV || ἔῤῥωται IV: ἔρωτι AR || **33** ἀδειλία AR || γέγονεν - **34** δωρεὰ παρλπ. IV [διὰ πήδ. τοῦ γρφ. τοῦ y ἀπὸ ὁμ. εἰς ὁμ.] || **35** μτ. γαμετὴν χσμ. ὡρσμ. [διὰ τὸ ἀτελὲς τοῦ χωρ. Ἐπεὶ (29) - γαμετὴν (35), ὅπερ πβ. πρὸς τὸ ἐν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



γυναῖκα ἔχων καὶ ἐπὶ ἀπάτῃ μνηστεύεται ἄλλην καὶ δωρήσηται, μὴ παρακολουθοῦντος τοῦ γάμου οὐ δύναται ταῦτα ἐπαναλαμβάνειν. Ἐάν τις πρὸ γάμου δωρεὰν διδοὺς συνεφώνησεν, ἵνα, ἐὰν παρὰ γνώμην αὐτοῦ λυθῇ ὁ γάμος, ἀποδοθῶσιν αὐτῷ, ἅπερ ἔμελλε δωρεῖσθαι, δύναται θανάτῳ αὐτοῦ ὁ κληρονόμος αὐτοῦ μὴ γενομένων τῶν γάμων ἀναλαβεῖν τὴν δωρεάν.

[238β A] **Κεφάλαιον σπζ΄. Περὶ φιλήματος μνηστήρων**

Ἐὰν ἐφίλησεν ὁ μνηστὴρ τὴν μνηστὴν ἐν τῷ τῆς μνηστείας καιρῷ καὶ μετὰ τοῦτο ἕνα τῶν ἀμφοτέρων τελευτῆσαι συνέβη, τὸ ἥμισυ τῆς δωρεᾶς ἀνατρέπεται καὶ τὸ ἥμισυ ἔχει ὁ ζῶν. Φιλήματος δὲ μὴ γενομένου εἴτε ὁ μνηστὴρ τελευτήσει εἴτε ἡ μνηστή, πᾶσι τρόποις ἀναδίδοται ἡ δωρεά. Ἐὰν δὲ ἡ μνηστὴ ἐδωρήσατο τῷ μνηστῆρι καὶ συνέβη ἕνα τούτων τελευτῆσαι, ἀναδίδοται πάντως ἡ δωρεὰ εἴτε γέγονεν εἴτε μὴ γέγονε φίλημα. Ἐὰν ὁ μνηστὴρ δωρήσηταί ⟨τινα τῇ ἰδίᾳ μνηστῇ καὶ ὁ πενθερὸς ἀντιδωρήσηται⟩ αὐτῷ τινα, μὴ γενομένων δὲ τῶν γάμων ὁ μνηστὴρ ἀφέληται ἅπερ ἐδωρήσατο, οὐ καλῶς ὁ πενθερὸς τὴν ἰδίαν δωρεὰν ἀνατρέπει, ἀλλὰ μᾶλλον ὀφείλει τὰ ἁρπαγέντα παρὰ τοῦ μνηστῆρος ἐπιζητεῖν.

**Κεφάλαιον σπη΄. Περὶ δανειστῶν ὅτι οὐ λαμβάνουν τὰ δωρηθέντα τῇ μνηστῇ παρὰ τοῦ μνηστοῦ αὐτῆς**

Οἱ δανεισταὶ οἱ προγενέστεροι τοῦ ἀνδρός, εἰ μὴ ὑποθήκας ἔχουσιν, οὐ [232β

---

ρεὰν ∼ *Ἐπιτ. 21.7-8* || ⟨...⟨*Βασ. 28.3.5, 7 —Σύν. Μ 15.18* || *πβ. Φωτειν. Α΄ 21.13.*

**σπζ΄ 2** Ἐὰν ἐφίλησεν - **11** ἐπιζητεῖν ⟨*Ἀρμ. 4.3.9-10* || ⟨...⟨*Βασ. 28.3.10, 16 —Σύν. Μ 15.21, 25 —Ἐπιτ. 21.11* || ⟩ *Μαλξ. (Θέμ.) ρμγ΄ 3, (Ρουμ.) ρμθ΄· πβ. Νομκ. Α΄ 9-10, Φωτειν. Α΄ 21.15.*

**σπη΄ 3** Οἱ δανεισταὶ - **5** ὑπέκειτο ⟨*Ἀρμ. 4.3.11* || ⟨...⟨*Πρόχ. Νόμ. 3.7 — Βασ. 28.3.13—Σύν.*

---

*στχ. 16/22]* || παρὰ ταῦτα *ARV*: παρ' αὐτὰ *I* || μηδὲ *AR*: μὴ καὶ *IV* || **37** ἄλλῃ *Ἐπιτ.* || δωρεῖται *Ἐπιτ.* || παρακολουθούντων τῶν γάμων *Ἐπιτ.* || **38** πρὸ γάμου *A*: πρὸς γάμου *IRV*, προγάμου *Ἐπιτ.* || **39** παραγνώμην *AR* || **40** ἔμελλε δωρεῖσθαι *κώδδ.*: ἐδωρήσατο *Ἐπιτ.* || *μτ.* αὐτοῦ *προσθ.* διαλυθέντων τῶν γάμων *Ἐπιτ.* || **41** *πρὸ* μὴ *προσθ.* καὶ *Ἐπιτ.*

**σπζ΄ : 1** φηλήματος *V* || **2** τοῦ ἁρμενοπούλου *ἐν τῇ ὤᾳ κώδδ. (ἄ.* τοῦ, ἁ- *V)* || **4** φιλίματος *R* || μὴ *παρλπ. IV* || εἴτε *δρθ. ἐξ Ἀρμ.*: ὅτε *κώδδ.* || **6** τούτων ἕνα *V* || **7** εἴτε[1] *δρθ. ἐξ Ἀρμ.*: ὅτε *κώδδ.* || εἴτε[2] *(ὡς Ἀρμ.) AR*: ἢ *IV* || φίλιμα *R* || **8** τινα - ἀντιδωρήσηται *προσθ. ἐξ Ἀρμ.*: *παρλπ. κώδδ. [διὰ πήδ. τοῦ γρφ. τοῦ x ἀπὸ λ. εἰς λ. διὰ τὸ ὁμκτλ.]* || **9** ἀφέλεται *IV* || **10** ἀνατρέπειν *IV*.

**σπη΄ : 1** δανιστῶν *R* || **7** προγάμου *RV*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



R] δύνανται τὰ τῇ μνηστῇ δωρηθέντα παρ᾽ αὐτοῦ πράγ[95β I]ματα ἀποσπᾶν, εἰ μήπου ἰδικῶς αὐτοῖς ταῦτα ὑπέκειτο. Μὴ νομίσῃς, ὅτι ἡ γυνὴ ἐπὶ ταῖς ἐνταῦθα τρακταϊζομέναις δωρεαῖς σιωπηρὰς ἔχει ὑποθήκας, διότι αὗται ἐπὶ τῇ πρὸ γάμου δωρεᾷ, ἤτοι τῷ ὑποβόλῳ, ἐδόθησαν.

---

*Μ 15.23—'Επιτ. 21.14* || *πβ. Νομκ. Α' 43* || **5** Μὴ νομίσῃς - **7** ἐδόθησαν ⟨*σχλ. εἰς 'Αρμ. 4.3.11:484 σημ. l* || *πβ. Νομκ. Α' 44, Φωτειν. Α' 21.18.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ